Ἡ β'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιάνειος ρκ'. κειμένη ἐν βιβλίῳ ε'. τῶν βασιλικῶν τίτ. β'. κεφ. κα'. οὕτως ἔχοντι καθὼς εἰς τὸ κείμενον διελήφθη. τὸ ιγ'. διάτ. τῶν ιη'. τίτ. τῶν α'. βιβλίου, ἔστι βιβλίον ς'. τίτ. α'. κεφ. μβ'. οὕτως ἔχον, ὁ ἄρχων φροντιζέτω τῆς εἰρήνης ζητῶν τοὺς ἱεροσύλους καὶ ἀνδραποδίστας, καὶ κλέπτας καὶ ὑποδοχεῖς καὶ πρὸς τὸ πλημμέλημα ἐπεξιὼν αὐτοῖς. τὸ δ'. διάτ. τῶν β'. τίτ. τῶν ι'. βιβλίου, ἔστι τῶν βασιλικῶν βιβλίον μβ'. τίτ. γ'. κεφ. δ'. θέμα β'. λέγον, ἐξηρημένων τῶν χρεῶν τὰ λοιπὰ πράγματα κατάγονται εἰς τὸ διαιροῦν τῇ φαμιλίᾳ τὴν κλῆρον δικαστήριον, καὶ τὰ κακὰ φάρμακα, καὶ τὰ μαγικὰ βιβλία, καὶ τὰ ὅμοια. ὀφφίκιον δὲ δικαστοῦ παραχρῆμα τὰ τοιαῦτα διαφθείρειν. οὐ διαιρεῖται δὲ τὰ ἀπὸ ἱεροσυλίας κτηθέντα, ἢ τὰ ἀπὸ δήμου κλαπέντα ἢ ἀπὸ βίας κτηθέντα, ἢ ἐφόδου. σὺ δὲ γίνωσκε ὅτι πάντα ὅσα κακῇ πίστει νέμεται ὁ τελευτήσας οὐ κατάγεται εἰς τὸ διαιρετικὸν δικαστήριον, ἀλλὰ φυλάττεται τῷ ἰδίῳ δεσπότῃ ἀμείωτα. τὸ κς'. διάτ. τῶν α'. τίτ. τοῦ με'. βιβλίου, ἔστι κεφ. κδ'. τῶν α'. τίτ. τῶν μγ'. βιβλίου λέγον τὰ αὐτά.

κείμενον.

Ἐν βιβλίον μη'. τίτ. δ'. διάτ. α'. ὅτι ὅμοιόν ἐστι τὸ ἔγκλημα τῆς καθοσιώσεως, τῷ περὶ τῆς ἱεροσυλίας. καὶ τίτ. ιγ'. τοῦ αὐτοῦ βιβλίου διάτ. α'. ὁ περὶ τῆς ἱεροσυλίας κινεῖται νόμος κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν χρημάτων, ἢ στρέψαντος εἰς ἰδίας χρείας, ἢ παρασκευάσαντος κατὰ

δόλον γενέσθαι τι τούτων. διάτ. δ'. οἱ ἱερόσυλοι πρὸς τὸ ποιὸν τοῦ ἁμαρτήματος τιμωροῦνται.

σχόλιον.

Τὸ κς'. διάτ. τῶν α'. τίτ. τοῦ με'. βιβλίου τῶν διατάξ. ἔστι βιβλίον τῶν βασιλικῶν μγ'. τίτ. α'. κεφ. κε'. λέγον, αἱ αἰσχραὶ ἐπερωτήσεις ἀνισχυροί εἰσιν, ὡς ὅταν τις ὁμολογῇ φόνον ποιεῖν ἢ ἱεροσυλίαν, οὔτε γὰρ ἀγωγὴ ἐκ τῶν τοιούτων ἁρμόζει.

ἕτερον σχόλιον.

Τὸ α'. διάτ. τοῦ δ'. τίτ. τοῦ μη'. βιβλίου τῶν διατάξ. ἔστι τῶν βασιλικῶν βιβλίον ξ'. τίτ. λς'. κεφ. α'. λέγον, ὁ περὶ τῶν ἐπιβούλων νόμος ὅμοιός ἐστι τῷ περὶ ἱεροσυλίας, καὶ ἐνέχεται αὐτῷ ὁ κατὰ τοῦ ῥωμαϊκοῦ δήμου πλημμελήσας, καὶ ὁ σπουδάσας κατὰ δόλον παρὰ κέλευσιν βασιλέως ἀναιρεθῆναι τοὺς ὁμήρους, ἢ ἵνα ἔνοπλοι ἄνθρωποι κατὰ τῆς πόλεως ἐν πόλει ὦσιν, ἢ ἵνα τόπος ἢ ἱερὰ καταχεθῶσιν, ἢ στασιώδης γένηται συνόδος, ἢ ἵνα φονευθῇ ὁ ἄρχων καὶ ὁ πρὸς τοὺς πολεμίους ἄγγελον ἢ γράμματα πέμψας ἢ σημεῖον αὐτοῖς δεδωκὼς, ἢ ἄλλως βοηθήσας αὐτοῖς, καὶ ὑπονοθεύσας ἢ ἐρεθίσας στρατιώτας πρὸς στάσιν ἢ θόρυβον κατὰ τῆς πολιτείας. τὸ α'. διάτ. τοῦ ιγ'. τίτ. τῶν αὐτοῦ βιβλίου τῶν διατ. ἔστι βιβλίον ξ'. τίτ. με'. κεφ. β'. ὁ δὲ πεκουλάτους κινεῖται κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν, ἢ τῶν μνημείων ἢ δημοσίων, ἢ χρημάτων, ἢ στρέψαντος εἰς ἰδίας χρήσεις. πλὴν τῶν ἀπὸ νόμου ἐπιτετραμμένων, καὶ τῶν παρασκευασάντων κατὰ δόλον γίνεσθαί τι τούτων, καὶ τοῦ μίξαντος τῷ δημοσίῳ χρυσῷ ἢ ἀργύρῳ χαλκὸν, ἢ ἕτερον βλάπτον αὐτά. τὸ δ'. διάτ. οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

κείμενον.

Διάτ. ς'. τὸ ἐξ ἱεροῦ ἰδιωτικὰ χρήματα ὑφελέσθαι οὐκ ἔστιν ἱεροσυλία, ἀλλὰ κλοπή ἐν δὲ τῷ ις'. διαταγματι τοῦ ιθ'. τίτ. τοῦ μη'. βιβλίου λέγει, τὸν τόπον διακρίνειν τὸν κλεπτὴν ἀπὸ τοῦ ἱεροσύλου, καὶ βιβλίον ς'. τοῦ κώδικος, τίτ. β'. διάτ. γ'. ὅτι ὁ κλέπτων τὸ μήπω τῷ θεῷ καθιερωθὲν ὡς κλέπτης ἐνάγεται.

σχόλιον.

Τὸ ς'. διάτ. τοῦ δ'. τίτ. τοῦ μη'. βιβλίου τῶν διατ. ἔστι τῶν βασιλικῶν βιβλίον ξ'. τίτ. με'. κεφ. ς'. καί φησι, τὸ ὑφελέσθαι ἀπὸ ἱεροῦ χρήματα ἰδιωτικὰ οὐκ ἔστιν ἱεροσυλία ἀλλὰ κλοπή. τὸ ις'. διάτ. τοῦ νθ'. τίτ. τοῦ μη'. βιβλίου τῶν διατάξεων, ἔστι τῶν βασιλικῶν βιβλίον ξ'. τίτ. να'. κεφ. ις'. λέγον τὴν τόπον ποιεῖν τὴν κλοπὴν, ἢ τὴν ἱεροσυλίαν. καὶ φαίνονται μετὰ ἐναντία τὰ κεφ. οὐκ εἰσὶ δὲ, ἀλλ' ὁ μὲν ἰδιωτικὰ χρήματα κλέπτων, κἂν ἐξ ἱεροῦ τόπου κλέπτης ἐστίν. ὁ δὲ τὰ ἀνατεθειμένα τῷ θεῷ κλέπτων κἂν ἐξ ἰδιωτικοῦ τόπου κλέψῃ ὡς ἱερόσυλος ἐνέχεται. πλὴν ἐπεὶ εἰσί τινα ἱερὰ μὴ ἀνατεθειμένα τῷ θεῷ ὡς τὰ ἰδικῶς ἡμῖν διαφέροντα εἰκονίσματα, καὶ λοιπὰ μήπω ναοῖς, ἢ μοναστηρίοις ἀνατεθέντα κατὰ τοῦτο λέγει τὸ ις'. κεφ. τῶν να'. τίτ. τοῦ ξ'. βιβλίου τὴν τόπον ποιεῖν τὴν κλοπὴν, ἢ τὴν ἱεροσυλίαν. ὁ γὰρ τὴν ἐν τῷ καλλίῳ ἡμῶν οὖσαν ἁγίαν εἰκόνα κλέπτων οὐκ ἔστιν ἱερόσυλος, ἀλλὰ κλέπτης. εἰ δὲ μὴ τοῦτο οὕτως ἑρμηνεύσομεν, εἴπωμεν πάντως καὶ τὴν κλέπτοντα νομίσματα ἔχοντα εἰκόνα χριστοῦ, ἢ θεοτόκου, ὡς ἱερόσυλον ἐνάγεσθαι. ὅπερ ἄτοπον καὶ ψευδές. ἡ γ'. διάτ. τοῦ β'. τίτ. τοῦ ς'. βιβλίου τῶν κώδικος, ἔστι τῶν βασιλικῶν βιβλίον ξ'. τίτ. ς'. κεφ. κ'. λέγον, ὁ τὸ μήπω καθιερωθὲν κλέψας κατέχεται τῇ φούρτῳ, οὔπω γὰρ ἱερόσυλός ἐστιν ὁ κλέψας τὸ μηδέπω καθιε-

ρωθὲν. ὁμ τ πιόντα ὧν κιφ. φύεται ὡς χωλῶς ἐλύθη ἀνωτέρω ἡ δοκοῦσα ἐναντιοφωνία τ κεφαλαίων.

κείμενον.

Βιβλίον μή. πίτ. ιγ'. διάτ. ή. ἡ ℣ ἱεροσύλε ποινὴ ἀπὸ τῆς ποιότητος τῶν προσώπων, καὶ ℣ ἁμαρτήματος, καὶ ℣ καιροῦ, καὶ τῆς ἡλικίας, καὶ τῆς φύσεως, ἢ βαρυτέρα, ἢ ἐλαφροτέρα ἐπιφέρεται. τινὲς γὰρ ζημίοις παραδίδονται, τινὲς καίονται, τινὲς φραγκίζονται. μεμετρημένη καὶ ποινή ἐστι τὸ παραδοθῆναι ζημίοις τὸν νυκτερινὸν ἱερόσυλον, τ ἡμερινὸν ℣ μετριώτερόν τι ἱεροσυλοῦντα, μεταλλίζεσθαι, τὸν ℣ τιμιον δεπορτατεύεσθαι. διάτ. ια'. οἱ ἱερόσυλοι κεφαλικῶς κολάζονται. ἱερόσυλοι ℣ εἰσὶν, οἱ τοῦ δημοσίους ναοὺς κλέπτοντες. οἱ ℣ ἰδιωτικὰ ἱερὰ καὶ τοῦ μικροὺς ναοὺς ἀφυλάκτους ὄντας κλέπτοντες, ἥττον μὲν τῶν ἱεροσύλων, κολέον ℣ τῶν κλεπτῶν τιμωροῦνται. ὁ ℣ ἐξωπίσθεν τοῦ κλέπτων τὰ ἱερὰ, τοῦ κειται τῷ τῆς ἱεροσυλίας ἐγκλήματι. ὁ γὰρ τὸν αὐτὸν φυλακὴν πεπισευμένος, καὶ ὠφέληταί τι ἐξ αὐτῶν, ἐχ τοῦ κειται τούτῳ τῷ νόμῳ. διάτ. ιβ'. δεπορτατεύεται ὁ σκεβάλλων ἄνθρωπον κιβωτίῳ, καὶ παραθέμενος αὐτὸν ἐν ναῷ, ἐαν σκεῦνος ἐξιὼν τῆς κιβωτοῦ, κλέψῃ τινὰ ℣ ἱερῶν. διάτ. ις'. τὸ τῆς ἱεροσυλίας καὶ κ℣ κληρονόμων ἁρμόζει. ὠφελὶ γὰρ χρημάτων ὑφαιρεθέντων ἐστὶν ἐν αὐτῷ ζήτησις.

σχόλιον.

Τὸ ζ'. διάτ. τ ιγ'. πίτλε τοῦ μή. βιβλίε ὃν ἐτέθη εἰς τὸ βασιλικὰ, ὃδὲ τὸ ια'. τὸ ℣ ιβ'. ἔστι κεφ. ιγ'. τ μέ. τ ξ'. βιβλίε ὅτων ἔχον ὡς εἰς τὸ κείμενον δηλοῦται. ὡσαύτως καὶ τὸ ις'. ἔστι κεφ. ις'. τ αὐτοῦ βιβλίε καὶ πίτ. τὰ αὐτὰ δηλοῦον.

κεφάλαιον γ'.

Περὶ Κληρικῶν ἀποχιζόντων κ℣ παρανομοῦντων τῶν ἐπισκόπων ἰσοῦντων θυσιαστήρια, ἀποστόλων κανὼν λά. συνόδε Ἀντιοχείας κανὼν ε'. συνόδε Καρθαγένης κανὼν ι'. συνόδε ς'. κανὼν λά. συνόδε α'. κ℣ β'. ἐν τῷ ναῷ τ ἁγίων ἀποστόλων κανὼν ιβ'. ιγ'. ιδ℣'. ιε'.

ΤΙΤΛΟΣ Γ'.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΠΕΡΙ ὠδῶν, κ℣ ψαλμῳδίας, κ℣ ἀναγνώσεως κ℣ ἀναφορᾶς κ℣ κοινωνίας, κ℣ Φορεσίας, κ℣ ὑπουργίας ἀναγνωστῶν, ψαλτῶν, κ℣ ὑπηρετῶν, ποίων ὁ λαὸς ὠδῶν ἀκροᾶται κ℣ Δι' τι πρὸς ἀπατηλὰς ὁρῶντες ὠδὰς ἐχόμεθα, συνόδε Λαοδικείας κανὼν ε'. κ℣ ιθ'. Βασιλείε

ὀκτ℣ κζ'. κεφ. ℣ ὠφὶ ℣ ἁγίε πνεύματος.

κείμενον.

Η ιζ'. Διάτ. ℣ α'. πίτ. τῶν νεαρῶν, λέγε τὴν ὠχλὼ τῆς ἁγίας καινωνίας κ℣ ἁγίε βαπτίσματος ὀφείλειν ἐξακηδεῦσθαι τῷ λαῷ.

σχόλιον.

Η ιζ'. διάτ. τοῦ α'. πίτ. τ νεαρῶν, ἔστι κεφ. κά'. τοῦ α'. πίτ. τ γ'. βιβλίου τ βασιλικῶν ὅτων ἔχον, περὶ τούτοις κελεύομεν πάντας ὀρθοδόξους τε κ℣ προσηκούσης μὴ μέ τὸ σεσωσμένον, ἀλλὰ μετὰ φωνῆς τῷ πιστοτάτῳ λαῷ ἐξακουομένης τὴν θείαν προσομιλεῖν, κ℣ τὴν ὀπ τῷ ἁγίῳ βαπτίσματι προσευχὴν ποιεῖσθαι, πρὸς τὸ καὶ ντεῦθεν τοὺς τ ἀκούοντων ψυχὰς εἰς πλείονα κατάνυξιν κ℣ τὴν πρὸς τ δεσπότην θεὸν διανίστασθαι δοξολογίαν.

κεφάλαιον β'.

Περὶ ὕμνας, κ℣ πῶς, κ℣ ποῖα δεῖ ψάλλειν, ἢ εὔχεσθαι, ἢ ἀναγινώσκειν, ἀποστόλων κανὼν ξ'. πά. συνόδε Λαοδικείας κανὼν ιέ. ιζ'. ιή. ιθ'. κγ'. μθ'. συνόδε Καρθαγένης κανὼν κδ'. μς'. ργ'. συνόδε ς'. κανὼν λγ'. ξγ'. οέ. πά. συνόδε Νικαίας τὸ β'. κανὼν ιδ'.

κεφάλαιον γ'.

Περὶ ℣ χρῆναι κ℣ σάββατον ἀναγινώσκεσθαι Δαγγέλιον μετὰ ἑτέρων γραφῶν, συνόδε Λαοδικείας κανὼν ἓξ κ℣ δέκατος.

κεφάλαιον δ'.

Περὶ τῆς ἁγίας ἀναφορᾶς κ℣ κοινωνίας, ἀποστόλων κανὼν γ'. δ'. λά'. συνόδε Νικαίας κανὼν ιή. συνόδε Ἀγκύρας κανὼν α'. συνόδε Νεοκαισαρείας, κανὼν ιγ'. συνόδε Λαοδικείας κανὼν ιθ'. μθ'. συνόδε Καρθαγένης κανὼν ζ'. λ'. μά. μζ'. συνόδε ς'. κανὼν κά. κγ'. κή. νζ'. νή. ξϛ'. κ℣ ρά.

κεφάλαιον ε'.

Γῶς διδόασι τὴν εἰρήνην οἱ κληρικοὶ κ℣ οἱ λαϊκοὶ, συνόδε Λαοδικείας κανὼν ἑνὸς καὶ δεκάτου.

κεφάλαιον ς'.

Περὶ τῶν διακεκομένων κοινωνεῖν ἀπὸ πρεσβυτέρων γεγαμηκότων. συνόδε Γαγγραίνας κανὼν πέμπτος.

κεφάλαιον ζ'.

Περὶ ℣ μόνοις τοῖς ἱερατικοῖς ἐξεῖναι κοινωνεῖν ἐν τῷ θυσιαστηρίῳ, κ℣ ὠφὶ ℣ μὴ εἰσίεναι γυναῖκα εἰς τὸ θυσιαστήριον, συνόδε Λαοδικείας κανὼν ιθ'. μδ'. συνόδε ξ'. κανὼν ξθ'. οή.

κεφάλαιον η'.

Πότε προσφέρουσι κ℣ διδόασι κοινωνίαν οἱ χωρεπίσκοποι, συνόδε Νεοκαισαρείας κανὼν τρισκαιδεκάτος.

κεφάλαιον θ'.

Περὶ τοῦ μὴ προσφέρειν διάκονον, μήτε διδόναι πρεσβυτέρῳ κοινωνίαν, συνόδου Νικαίας κανὼν ιη'.

κεφάλαιον ι'.

Περὶ φορεσίας καὶ ὑπουργίας ἀναγνωστῶν, ψαλτῶν, καὶ ὑπηρετῶν, καὶ ὅτι οὐ δεῖ ὑπηρέτην ἄρτον διδόναι, ἢ ποτήριον εὐλογεῖν, συνόδου Λαοδικείας κανὼν κα'. κβ'. κγ'. κε'. μγ'. συνόδου ς'. κανὼν κζ'. συνόδου Νικαίας τὸ δεύτερον κανὼν τεσσαρεσκαιδέκατος, ἑξακαιδέκατος.

κεφάλαιον ια'.

Περὶ τῶν διαγόντων ἐν πόλει καὶ ἐπὶ τρεῖς ἑβδομάδας μὴ κοινωνούντων, συνόδου Σαρδικῆς κανὼν ια'. συνόδου ς'. κανὼν ὀγδοηκοστὸς.

κεφάλαιον ιβ'.

Περὶ τῶν ἀκουόντων τῶν γραφῶν καὶ μὴ προσκαρτερούντων ἐν τῇ τελευταίᾳ εὐχῇ καὶ μεταλαμβανόντων, ἀποστόλων κανὼν η'. θ'. συνόδου Ἀντιοχείας κανὼν β'.

κεφάλαιον ιγ'.

Περὶ δαιμονιζομένων πῶς κοινωνοῦσι, ἀποστόλων κανὼν οθ'. Τιμοθέου κανὼν γ'.

κεφάλαιον ιδ'.

Περὶ ἔξωθεν ἐκκλησίας προσφερόντων, ἢ ἐκκλησιαζόντων, ἀποστόλων κανὼν λα'. συνόδου Γαγγρῶν κανὼν ς'. συνόδου Ἀντιοχείας κανὼν β'. ε'. συνόδου Λαοδικείας κανὼν νη'. συνόδου ἕκτης κανὼν λα'. νθ'.

κείμενον.

Ἡ ζ'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, καὶ ἡ γ'. τοῦ β'. τίτ. φησὶν, ὅτι δεῖ τὸν θέλοντα εὐκτήριον, ἢ ἐκκλησίαν κτῖσαι, διαλέγεσθαι περὶ τούτου τῷ τῆς πόλεως ἐπισκόπῳ, καὶ δωρεῖσθαι τὰ ἀρκοῦντα πρὸς τὴν λυχνοκαΐαν, καὶ τὴν ἱερὰν λειτουργίαν, καὶ τὴν ἀδιάφθορον τοῦ τόπου τήρησιν, καὶ τὴν ἀποτροφὴν τῶν προσεδρευόντων, καὶ τότε τὸν ἐπίσκοπον τὸ πρᾶγμα πᾶσι φανερούντα, δημοσίᾳ ἐκεῖσε προϊέναι, καὶ σὺν εὐχῇ πηγνῦναι σταυρὸν, καὶ τότε τὸ ἔργον ἄρχεται καὶ ὅτι ὁ ἀρξάμενος νέον κτίζειν, ἢ παλαιὸν ἀνανεοῦν, ἀναγκάζεται μετὰ κληρονόμων αὐτοῦ, παρὰ τῶν οἰκονόμων καὶ τοῦ ἐπισκόπου καὶ τοῦ ἄρχοντος τὸ ἀρχθὲν πληρῶσαι.

σχόλιον.

Ἡ ζ'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιάνειος ξζ'. καὶ οὐκ ἐτέθη εἰς τὰ βασιλικά. ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιάνειος ρλα'. κειμένη ἐν βιβλίῳ ε'. τῶν βασιλικῶν τίτ. γ'. κεφ. δ'. καὶ ε'. ἃ καὶ ἔχουσιν ὡς εἰς τὸ κείμενον συνωψίσθησαν.

κείμενον.

κείμενον.

Εἰ δέ τις ἐν ἰδιωτικῷ οἴκῳ, προαστείῳ, ἢ χωρίῳ, ἱερὰν ἐκτελέσῃ λειτουργίαν, ἤ τισιν ἐκτελεῖν συγχωρήσῃ, ἢ δίχα κληρικῶν ἀφοριζομένων παρὰ τοῦ τῶν τόπων ἐπισκόπου, ὁ τόπος ἐν ᾧ τοῦτο γέγονεν ἐν εἰδήσει τοῦ δεσπότου προσκυροῦται τῇ ἐκκλησίᾳ διὰ τοῦ ἐπισκόπου, καὶ τοῦ οἰκονόμου, καὶ τοῦ ἄρχοντος κατὰ τὴν ς'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν, ἡ γὰρ ς'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν εἶπεν αὐτὸν φισκοῦσθαι, καὶ ἡ ιε'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβ. τοῦ κώδικος, εἰ δὲ ἠγνόησε τὸ γινόμενον ὁ δεσπότης, οὐ ζημιοῦται, ἀλλ' οἱ γιγνώσκοντες φροντισταὶ, καὶ μισθωταὶ, καὶ ἐμφυτευταὶ, ἐξορίζονται τῆς ἐπαρχίας, τῶν πραγμάτων αὐτῶν προσκυρουμένων τῇ ἐκκλησίᾳ, οἱ δὲ ὕπαρχοι ταῦτα πληρούντες ἐν εἰδήσει ν'. λίτρας ζημιοῦνται, καὶ ἡ τάξις ν'. ἔξεστι μέντοι τοῖς ἔχουσιν ἐν τοῖς οἴκοις αὐτῶν εὐκτήρια, εὔχεσθαι, οὐ μὲν καὶ λειτουργίας παρὰ τὰ εἰρημένα ποιεῖν.

σχόλιον.

Περὶ τῆς γ'. διατάξ. τοῦ β'. τίτ. τῶν νεαρῶν διελάβομεν εἰς τὸ διελθὸν σχόλιον. ἡ ς'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν ἡ λέγουσα φισκοῦσθαι ἤτοι δημοσιεύεσθαι τὸν τόπον ἐν ᾧ γίνεταί τι ἱερὸν παρὰ γνώμην τῶν ἐπισκόπων, ἔστι νεαρὰ ἰουστινιάνειος νη'. ἥτις καὶ ἠπράκτησεν ὡς μὴ τεθεῖσα εἰς τὰ βασιλικά. ἡ ιε'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

κεφάλαιον ιε'.

Περὶ ἐπισκόπων ἢ κληρικῶν συγκοινωνούντων, ἢ συνευχομένων αἱρετικοῖς, ἢ ἰουδαίοις, ἢ ἐπιτρεπόντων αὐτοὺς ἐνεργεῖν, ἢ δεχομένων αὐτῶν θυσίας, ἀποστόλων κανὼν ι'. με'. μς'. συνόδου Ἀντιοχείας κανὼν β'. συνόδου Λαοδικείας κανὼν λγ'.

κείμενον.

Ἡ δ'. διάτ. τοῦ ς'. τίτ. τῶν νεαρῶν, φησὶν ὅτι συνάγοντες οἱ αἱρετικοὶ, καὶ οἱ πρὸς αὐτοὺς συναγόμενοι τὰς ἀπὸ τῶν διατάξεων ποινὰς ὑπομένουσι, καὶ οἱ οἴκοι ἐν οἷς ἁμαρτάνεται τοῦτο τῇ ἁγίᾳ ἐκκλησίᾳ προσκυροῦνται.

σχόλιον.

Ἡ δ'. διάτ. τοῦ γ'. τίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιάνειος ρλβ'. κειμένη ἐν βιβλίῳ α'. τῶν βασιλικῶν τίτ. α'. κεφ. τελευταίῳ καλουμένη ἴδικτον περὶ πίστεως, Κωνσταντινουπολίταις κωλύουσα τὰς παρασυνάξεις, καὶ τὰ παραβαπτίσματα τῶν αἱρετικῶν καὶ διαλαμβάνουσα ὅσα εἰς τὸ κείμενον διελήφθησαν.

κεφάλαιον ις'.

Περὶ τοῦ μὴ δεῖν τὰ ἅγια, λόγῳ εὐλογιῶν, εἰς τὰς παροικίας πέμπε-

σθαι, συνόδου Λαοδικείας κανὼν τεσσαρεσκαιδέκατος.

κεφάλαιον ιζ.

Περὶ τοῦ μὴ διδόναι τοῖς σώμασι τῶν τελευτώντων κοινωνίαν, συνόδου Καρθαγένης κανὼν ιη'. συνόδου ἕκτης κανὼν πγ'.

κεφάλαιον ιη'.

Περὶ τοῦ μὴ χρῆναι γυναῖκα ἐν ταῖς ἡμέραις τῆς καθάρσεως αὐτῆς κοινωνεῖν, Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς, κεφ. β'. δ'. Τιμοθέου κανὼν ζ'.

κεφάλαιον ιθ'.

Πῶς ὁ ὀνειρασθεὶς κοινωνεῖ, Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κεφ. δ'. Τιμοθέου κανὼν ιβ'.

κεφάλαιον κ'.

Περὶ τοῦ μὴ γίνεσθαι ἀναφορὰν παρόντων αἱρετικῶν, Τιμοθέου κανὼν ἔννατος.

κεφάλαιον κα'.

Πότε δεῖ τῆς γαμετῆς διὰ τὴν κοινωνίαν ἀπέχεσθαι, Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κεφ. γ'. Τιμοθέου κανὼν ε'. ιγ'.

κεφάλαιον. κβ'.

Πῶς γίνεται προσφορὰ ὑπὲρ τοῦ ἑαυτὸν ἀνελόντος, Τιμοθέου κανὼν τεσσαρεσκαιδέκατος.

κείμενον.

Ὁ πολιτικὸς νόμος τὸν ἑαυτὸν ἀνελόντα, ἢ ἀνελεῖν ἐπιχειρήσαντα διὰ φόβον ἐγκλήματος, οὐ μὲν διὰ νόσον, ἢ μῖσος ζωῆς, τιμωρεῖται, ὡς τὸν ἕτερον ἀνελόντα, καὶ δημεύει τὴν οὐσίαν αὐτοῦ, ὡς βιβλίον μη'. τίτ. κα'. καὶ βιβλίον θ'. τοῦ κώδικος τίτ. ν'.

σχόλιον.

Ὁ κα'. τίτ. τοῦ μη'. βιβλίου τῶν διατάξ. ἐστὶ κεφ. γ'. καὶ δ'. τοῦ νγ'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν τὰ αὐτὰ διεξιόντες. ὁ δὲ ν'. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

ΤΙΤΛΟϹ Δ'.

ΠΕΡΙ κατηχουμένων καὶ τοῦ ἁγίου βαπτίσματος.

κεφάλαιον α'.

Περὶ τοῦ μὴ ὀφείλειν μετὰ δύο ἑβδομάδας τῆς τεσσαρακοστῆς δέ-

χεσθαι πρὸς τὸν φωτισμὸν, συνόδου Λαοδικείας κανὼν με'.

κεφάλαιον β'.

Περὶ τῶν ἐπιορκιζόντων, συνόδου Λαοδικείας κανὼν εἰκοστὸς ἕκτος.

κεφάλαιον γ'.

Πῶς δεῖ βαπτίζειν, ἀποστόλων κανὼν μθ'. ν'. συνόδου ἕκτης κανὼν νθ'.

κεφάλαιον δ'.

Περὶ τοῦ χρῆναι φωτιζομένους ἀπαγγέλλειν τὴν πίστιν, συνόδου Λαοδικείας κανὼν μς'. μζ'. συνόδου ἕκτης κανὼν οη'.

κείμενον.

Η' ι'. διάτ. τοῦ ι'. τίτ. τοῦ α' βιβλίου τοῦ κώδικος παρακελεύεται τοὺς ἕλληνας μικροὺς μὲν ὄντας χωρὶς ἀναβολῆς βαπτίζεσθαι, τοὺς δὲ τελείους πρότερον τὰς γραφὰς κατὰ τοὺς ἁγίους κανόνας διδασκομένους. καὶ ἰστέον ὅτι οὐχ εὑρίσκομεν κανόνα τι τοιοῦτο διδάσκοντα. ἡ δὲ γ'. διάτ. τοῦ γ'. τίτ. τῶν νεαρῶν, β'. οὖσα περὶ σαμαρειτῶν, κειμένη δὲ ἐν τῷ ῥητῷ τῶν ἐν τῷ πατριαρχείῳ βιβλίων, βιβλίον ρλγ'. θεσπίζει μὴ προχείρως τοὺς σαμαρείτας ἐπὶ τὸ ἅγιον εἰς δέχεσθαι βάπτισμα, ἀλλὰ τοὺς μὲν χρηστῆς διδασκαλίας αἰσθανομένους, ἐπὶ διετίαν κατηχεῖσθαι, καὶ οὕτω βαπτίζεσθαι, τοὺς δὲ νέους πάνυ, καὶ διδασκαλίας οὐ συνιέντας, καὶ χωρὶς τῆς παρατηρήσεως ταύτης, ἀξιοῦσθαι τοῦ ἁγίου βαπτίσματος.

σχόλιον.

Η' ι'. διάτ. τοῦ η'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος, οὐκ ἔστιν εἰς τὰ βασιλικά. ἡ γ'. διάτ. τοῦ γ'. τίτ. τῶν νεαρῶν, ἐστὶ νεαρὰ ἰουστινιάνειος ρμδ'. κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν α'. τίτ. α'. κεφ. να'. ἥτις καὶ γραφήσεται εἰς τὸ τέλος τοῦ ζ'. κεφ. τοῦ δ'. τίτ.

κεφάλαιον ε'.

Περὶ τοῦ βαπτίζεσθαι τοὺς ἀγνοοῦντας εἰ ἐβαπτίσθησαν, συνόδου Καρθαγένης κανὼν οβ'. συνόδου ς'. κανὼν πδ'.

κεφάλαιον ς'.

Περὶ τοῦ μὴ βαπτίζεσθαι τοὺς τελευτήσαντας, συνόδου Καρθαγένης κανὼν ὀκτωκαιδέκατος.

κεφάλαιον ζ'.

Περὶ τῶν πρὸ τοῦ βαπτίσματος ἁμαρτανόντων, καὶ περὶ κατηχουμένων παραπιπτόντων, συνόδου Νικαίας κανὼν ιδ'. συνόδου Ἀγκύρας κανὼν ιβ'. συνόδου Νεοκαισαρείας κανὼν ε'. Βασιλείου κανὼν η'. Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν δ'. Κυρίλλου ἐκ τῶν πρὸς τοὺς ἐν Λιβύῃ καὶ Πενταπόλει ἐπισκόπους ἐπιστολῶν κανὼν δ'.

κείμενον.

Η α'. διάτ. ξ ιβ'. τίτ. ξ α'. βιβλίε ξ κώδικος, ὅτι ἐαν ἰσδαῖος ἀφ' ἑ φυ-
ρῶν ἐγκλημα, ἢ χρέος, ἢ ἐλεύθερος ἢ χρεισταῖσιν, ἃ δεῖ αὐτὸν προσδεχθῆναι,
ἕως αὐ αὐθόρυνος φανῇ, καὶ τὸ χρέος καταβάλλῃ. ἢ ἢ ι'. Διάτ. τῦ ια'. τίτ. τῦ
α'. βιβλίε, θέλει σοῦ ἕλληνας βαπτίζεσθαι, καὶ τὰ τέκνα αὐτῶν χωρὶς ἀνα-
βολῆς μικρὰ ὄντα, τὰ δὲ τέλεια προδιδάσκεσθαι κατὰ σοῦ κανόνας, τὰς
χαράξας. ἢ ἢ γ'. ξ γ'. Τίτ. τῶν νεαρῶν, ὅπου διείλαν θέλει σοῦ τελείας συ-
μαρείσ ξ εἰς κατηχεῖσθαι.

σχόλιον.

Η α'. διάτ. ἢ ιβ'. πίτ. τῦ α'. βιβλίε τῦ κώδικος, ἔστι κεφ. μδ'. τῦ α'. πίτ. τῦ α'. βι-
βλίου τῶν βασιλικῶν ὅπω λέγων καθὼς εἰς τὸ κείμενον ἐδηλώθη. ἢ ι'. διάτ. ἢ ια'. πίτ. ἢ
α'. βιβλίε τῦ κώδικος ἐν ἐτάθη εἰς τὰ βασιλικά. ἢ ὑμῖν γ'. διάτ. ἢ γ'. πίτ. τῶν νεαρῶν,
ἔστι νεαρὰ ἰουστινιάνειος ρμδ'. κειμήλ ἐν βιβλίῳ α'. τῶν βασιλικῶν πίτ. α'. κεφ. να'. Δεσπό-
ζουσα σαμαρείτας μισθὸν τὰ λαμβάνειν ἀπὸ διαθήκης, ἢ ἐξ ἀδιαθέτου, ἢ ἐν δωρεᾶς, μη-
δὲ διατίθεσθαι αὐτόν, ἢ δωρεῖσθαι αἱρετικοῖς, μόνες ἢ τὸν γνησίως σαμαρείτας κλη ρονο-
μεῖν καὶ ἐξ ἀδιαθέτου, καὶ ἐν διαθήκης ἀλλήλοις, ἀλλὰ μηδὲ γίνεσθαι τινα ἐκ τούτων κρα-
τοῦντα, ἢ συνήγορον, ἢ ἕτερόν τι δοξάσιον αὐτὸν ἐγχειρίζεσθαι, κατηχεῖσθαι ἢ αὐτὸν ὅτι
δεπίαν, δεκτικὸς ὄντας τῆς κατηχήσεως, ὑπὸ μιᾶ ἐλευθερίᾳ σθαι καὶ τὸν παρ' αὐτῶν ἐξωνη-
μένους δούλους χρισιανὸς ὄντας.

κεφάλαιον η'.

Περὶ ὑπισχόπων, ἢ κληρικῶν δεχομένων βάπτισμα αἱρετικῶν, ὑπο-
ξύλων καὶ ὠν μς'.

κεφάλαιον θ'.

Περὶ τῶν ἐν νόζῳ βαπτιζομένων, συνόδε Νεοκαισαρείας κανὼν ιβ'.
συνόδε Λαοδικείας κανὼν μζ'. συνόδε Καρθαγένης κανὼν μέ. Τιμοθέε
κανὼν δ'.

κεφάλαιον ι'.

Περὶ ἐγκύε βαπτιζομένης, συνόδε Νεοκαισαρείας κανὼν ς'.

κείμενον.

Καίτοι ἐν τῇ α'. Διατ. ξ δ'. τίτ. τῦ κέ. βιβλίε τῶν Διαθέξεων φησὶ,
τὸ κυοφορούμενον εἶναι μέρος τῆς ἐγκύε. ἐν ᾗ τῇ ι'. Διάτ. ξ γ'. Τίτ. τῦ μα'.
βιβλίε, καὶ βιβλίον γ'. τ.τ. ις'. Διάτ. κς'. ὅτι τὸ κυοφορούμενον ὄκ ἐστι μέ-
ρος τῆς μητρὸς, καὶ ἄλλαι Διάφορα νόμιμα περὶ τούτε συνήγαγον ἐν τῷ
χαφέντι μοι περὶ ἐναντιοφανιῶν μόνῃ βίβλῳ.

σχόλιον.

Τὸ α'. διάτ. τ δ'. πίτ. τ κέ. βιβλίε τῶν διαταξ. ἔστι θέμα ϛ'. τῦ α'. κεφ. τῦ ζ'. πίτ.
τῦ λα'. βιβλίε ὅπως ἔχει, τὸ ἐγκυμονούμενον μὲν ἢ τεχθὴν μέρος ἐστὶ τῆς γυνῆς, καὶ διὰ τῦ-

το ἕως αὐ τεχθῇ ἔχ ἁρμόζει τῷ πατρὶ τὸ περὶ παύλου δόγμα. τὸ ι'. διάτ. τῦ γ'. πίτ. τῦ
μα'. βιβλίου τῶν διατάξεων, ἐστὶ θέμα γ'. τῦ ι'. κεφ. τῦ μ'. βιβλίε τῶν βασιλικῶν ὅπω λέγων,
τὸ τεχθὲν ἀπὸ βοὸς ἢ δούλης κλεψίμου, καὶ κληρονομίας τῦ κλέπτου, καὶ ἀμφισβητὸς ἀγωγῶν διὰ
χρονίας νομῶν δεσπόζει. τὸ γὰρ τεχθὲν οὐκ ἐστι μέρος τῦ κλεψίμου. τὸ κς'. διάτ. τῦ ις'.
πίτ. τῦ ι'. βιβλίου τῶν διατ. ἐστὶ κεφ. κς'. τῦ ϛ'. πίτ. τῦ ϛ'. βιβλίε τῶν βασιλικῶν ὅπως
ἔχει, ὁ τοκετὸς κλεψίμα ἐς ἢ δούλης ὄκ ἐστι μέρος αὐτῆς. τούτων ὅπως ἐχόντων ἐρωτήσει τις, τί-
νος χάριν τὸ ι'. κεφ. τῦ παιδίου σωτηρίου τῦ ἐγκύου βαπτιζομένης διδάσκοντος,
ἑρμῆδη ὁ πατριάρχης τῶν ἰνδίκτων κεφ. ὡς δεκαοκτὼ ἐναυτιοφανῶν. ἀμφιβολία ἰῶ περὶ
τῦ εἰ χρὴ τὸν κυοφορῆσαν βαπτίζεσθαι, ἔλεγον γάρ τινες ὡς ἐπεὶ τὸ κυοφορούμενον τοῖς μητρι-
κοῖς ἐγκάτοις κρυπτόμενον σωπήσωται τῇ μητρὶ διόλου ὡς μέρος αὐτῆς, καὶ ἃ δύναται συν
τῇ μητρὶ φωτισθῆναι διὰ τὸ μηκέτι εἰς φῶς ἐλθεῖν, μηδὲ προσάρεσιν ἔχειν ἢ ὁμολογίας τῦ
θείου βαπτίσματος, ἐδὲ ἢ ἐγκυμονῆσα ὀφείλει βαπτίζεσθαι. ἀλλὰ περιμένει τὸν εἰς τὸ φῶς
τῦ κυοφορηθέντος ἵνα ἐλεύσῃ, ἵνα μὴ τὸ μὲν ἐν μερῶν αὐτῆς βαπτισθῇ, τὸ δὲ μένῃ ἀφώτιστον, καὶ
ὅτι αὖ συν τῇ ἐγκυμονούσῃ τὸ κυοφορούμενον βαπτισθῇ μὴ τὲ εἰς φῶς ἐλθεῖν δεῖ, ἐαν βαπτισθείη,
εὑρεθείη δὲ βαπτιζόμενον ἐκ φῶς ἀτενον. καὶ ἐν Νεοκαισαρεία συνόδε ἐπίσκοποι ιη'. κανόνι τὸ
ἀμφισβητούμενον ὅτω διείσμηνεν, ὅτι δεῖ βαπτίζεσθαι ὁπόταν βέλεται, ἐδὲν γὰρ ὂν
τούτῳ κοινωνεῖ ἡ πίστωσα τῷ πιστευθέντι διὰ τὸ ἑκάστου ἰδίαν τὴν προαίρεσιν τὴν ὑπὲρ τῆς
ὁμολογίας δείκνυσθαι. τῦ γοῦν δείκνυσθαι τοῦτο κανόνος λέγοντος μὴ ὑπὸ κοινωνεῖν τῇ πιστεύσῃ τὸ
πιστευθὲν, ὃ τὸ παιδίον σωτήριον σωπῶμενος παιδιάρχης ἐυείζωον τῶν ἀναληθῶν τοὺς νό-
μους, τοιτέστι λέγοντα μέρος ἔτι ἐγκύου τὸ κυοφορούμενον παρὰ τὴν δύναμιν τῦ κανόνος,
ποτὲ δὲ μὴ ἔτι, τ δείκνυσθαι τῷ ὑφεστὼ τὰ ἐναντία φαίνῃ, τὴν λύσιν ὡς ἔσικεν εἰς τὴν ἡμετέραν
αὐαρτίζας ἀμάθειαν φαμὲν πίνην ὡς ὂν ἐναντιοῦται ἀλλήλοις τὰ ἰνδίκτα νόμιμα. τὸ
γὰρ κυοφορούμενον ἀεὶ περὶ τῦ τεχθῆναι μέρος ἐστὶ τῆς μητρὸς, ὡς καὶ τὸ τῦ λα'. βιβλίε κεφ.
φησὶ, καὶ διὰ τοῦτο ἀδύνατα πατρὶ ἀναγκλεῖσθαι αὐτὸ ὡς ἐξεβόσον. μὴ μήτοι τὸ γνη-
σίως αὐαγκλεῖσται τοῦτο, ὡς μὴ ὂν μέρος τῆς μητρός. καὶ ἐκλὴ ἢ πίστει γεμιδεὶς τὸ τεχθὲν
ἀπὸ κλοπιμαίας δούλης δεσπόζει αὐτὸ ὡς μὴ ὄντος κλοπιμαίου ἐμπίπτει κεφ. ι'. ἐκ διὰ
τὸ μὴ εἶ μέρος τῆς κυοφορήσης τὸ κυοφορούμενον, ἐπίσχεν τὸ βάπτισμα ταύτης, μέρος γὰρ
ἐστὶν αὐτῆς περὶ τῦ τεχθῆναι, ἀλλὰ διὰ τὸ μὴ ὁπκοινωνεῖν τῷ πίστευσαντῷ πιστῷ,
ἤγουν μὴ λογίζεσθαι, καὶ ταύτην ἀφώτιστον ἐν τῦ μὴ δύνασθαι τὸ κυοφορούμενον βαπτίσμα-
τος ὁμολογίαν αὐτὸ ἔχειν, ποτὲ δὲ ὁ τοκετὸς τῆς κλοπίμε δούλης διαπίζεται, καὶ πιστεύ, φα-
σὶ νόμι διάφορα. καὶ ζήτει τὰ χαφέντα ἔξωθεν τῦ αὐαθὲν καταφανῆτος κς'. κεφ. τῦ
ϛ'. πίτ. τῦ ϛ'. βιβλίε τῶν βασιλικῶν.

κεφάλαιον ια'.

Περὶ ᾧ ὀφείλειν μετὰ τὸ ἅγιον βάπτισμα χρίεσθαι, συνόδε Λαοδικείας
κανὼν μή'.

κεφάλαιον ιβ'.

Περὶ ποιήσεως ξ ἁγίε χρίσματος, συνόδε Καρθαγένης κανὼν ς'.

κεφάλαιον ιγ'.

Περὶ τῶ δὶς, ἢ μὴ δεόντως βαπτιζομένων, καὶ τῶ σοῦ ἀσθενεῖς μὴ βαπτι-

ζόντων, ὑποτόλων καινὼν μζ'. μθ'. ν'.

κείμενον.

Περὶ τῶν ἀναβαπτιζόντων, καὶ ἀναβαπτιζομένων Διαλαμβάνουσιν ἡ ά. καὶ ἡ β'. Διάτ. ᾱ ς'. τίτ. ᾱ ά. βιβλίου ᾱ κώδικος, ἡ μὲν γὰρ τῷ ὑπισκόπῳ καθαίρεσιν ἐπάγει, ἡ δὲ ἐλαττόνι τιμωρίαν καὶ τῷ βαπτίσαντι καὶ τῷ βαπτισθέντι, εἴγε ἡλικίας ἐστὶν ἐγκλήματος δεκτικῆς. γίνωσκε δὲ ὅτι ὁ τῇ ἥβῃ πλησιάζων ἐπ' ἀδεμίᾳ αἰτίᾳ βοηθεῖται, ὡς βιβλίου κθ'. ὑτ. ε'. Διάτ. ισ'. ἐστὶ δὲ καὶ ἥβη ὑπὸ ᾱ ἄρρενος ὁ ισ'. ἐνιαυτὸς πεπληρωμένος, ὑπὸ δὲ τῆς θηλείας ἡ συμπλήρωσις ᾱ ιβ'. ἐνιαυτοί, ὡς βιβλίου κή. ὑτ. ά. Διάτ. ε. καὶ βιβλίου ᾱ κώδικος ε'. ὑτ. ᾱ. Διάτ. γ'. ἰνφιτεπιῶνος ά. ὑτ. κβ'. εἰ δέ τισι ληστευθείη ἀποτροφὴ ἕως ᾱ εἰσὶν ἄτηκοι, ὁμοίως ἄρρεσι λαμβάνει ἕως ᾱ πληρώσῃ τὸν ιή. ἐνιαυτόν, ἡ δὲ θήλεια τὸν ισ'. ἄτηκος δὲ τὸ παλαιὸν ᾱ μὲν τῶν ἀπὸ μόνων τῶν ιβ'. ἐνιαυτῶν ἀκεῖνος, ἡ δὲ τῶν ἀρρένων ὁμοίως τῶν πληρωθέντων αὐτῷ ισ'. ἐνιαυτὸν μὴ πως ἔχειν καὶ τὸ σώματος ἕξιν, ὡς ἔγωγε καὶ ἐν τοῖς ἐνπισθύτοις. ἡ διάτ. ουὖ κεῖνος καὶ ὑπὸ τῶν ἀρρένων ἀπὸ τῶν ισ'. ἐνιαυτῶν κρίνεσθαι μὴ ὑπιζητούντων ἡμῶν τὸ ἧμμα τῆς σώματος, διὰ τὸ ἀπρεπές. ὁ δὲ κβ'. πίτ. ᾱ ά. ἰνστιτυτιῶνος ἐκ ἐτέθη εἰς τὰ βασιλικά. ὁ ά. πίτ. ᾱ λδ'. βιβλίῳ τῶν διατ. ἐτέθη εἰς βιβλίον μδ'. πίτ. ισ'. καὶ ζήτει κεφ. αὐτῆ ισ'. ὅτω λέγον, ἐὰν ἀνήβους ληστεύσω διατροφὰς, καὶ μὴ δείκνυται ἕως ποτὲ ἡ δέησις λαμβάνειν αὐτὰς, ἕως ἂν ζῶσι λαμβάνουσιν. εἰ δὲ εἶπον μέχρι τῆς ἥβης, ὁ μὲν ἄρρεν μέχρι τῶν ιή. ἐτῶν, ἡ δὲ θήλεια τῶν ισ'. λαμβάνουσιν. ὑπὸ μόνων δὲ τῶν διατροφῶν φιλαγάθως ἕτως ἡ ἥβη ὀρίζεται. τὸ κδ'. διάτ. τοῦ ί. πίτ. ᾱ μή. βιβλίου, ἔστι κεφ. κβ'. τοῦ μά. πίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν. ὅτω διαλαμβάνον, ὅτε τῷ λιβανείῳ δίδηματι, ὅτε τῷ

ἐκκλήματι τῶν πλαστῶν ἀνήκοος ὑποπίπτει. Τὸ λς'. διάτ. ᾱ έ. πίτ. ᾱ μή. βιβλίου, ἔστι κεφ. μ'. τῶ λζ'. πίτ. τῶ ξ'. βιβλίου τῶν βασιλικῶν λέγον, μὴ τὸν ἥβῃ πλημμελεῖ ὁ νέος μοιχείαν, καὶ ὑποκειται τῷ νόμῳ. ἡ δὲ λζ'. νεαρὰ ἐτέθη εἰς βιβλίον ά. τίτλου ά. κεφάλαιον μέ. ἔτος ἔχον, αἱρετικὸς μὲν βαπτιζέτω, μήτε πολιτευέσθω, μήτε μετελθέτω οἱουδήποτε πολεμικὸν ὀφφίκιον. ὁ ἀναβαπτισθεὶς στρατείας μόνης κωλύεται, ἐκδίκου χρείαν ἀφεξόδου μὴ ἐχέτω, καὶ τὰ ἀβῆτα. καὶ ταῦτα μὲ διδάσκουσι τὰ κεφ. περὶ τῶ αὐτόνων καὶ τῶ ἀναβαπτιζομένων, ἢ ἄλλως ἁμαρτανόντων, πότε συγγινώσκονται καὶ πότε ἀ συγγινώσκονται, καὶ ποῖος χρόνος ὁ μετὰ τὴν ἥβην ἐστί. σὺ δὲ συναγαγὼν εἰπὲ, ὅτι ἡ ἀκμάζουσα εἰς τέλα διαφέρεται εἰς ἔμφαντα αἴσθησιν τῶν ἐνηρημένου φωνῆς, καὶ ἤδη συμπληροῦντα τὴν τεσσάρων, εἰς περίξιμον ἔμφαντα τῶν πλησιάζοντα τῇ φωνῇ, καὶ συμπληροῦντα τῶν ζ'. ἐνιαυτὸν, καὶ εἰς περίξιμον περίφαντον τῶν πλησιάζοντα τῇ ἡλικίᾳ, καὶ δεκτικὸν ὄντα δόλου, ὅστις ἀπὸ τῶν ζ'. ἐνιαυτῶν καὶ μέχρι τῶν ιδ'. καὶ αὖτε περιβαίνει, καὶ οἱ ὡν μὴ δεκτικοὶ δόλου αἴσθοι ἀπὸ ἁμαρτήματος ἃ ἐυθύνονται, οἱ δὲ παρὰ τούτου ἤγουν οἱ πληρώσαντες τῶν ζ'. ἐνιαυτὸν, καὶ ἀναβαπτιζόμενοι ἐυθύνονται, καὶ ἄλλως ἁμαρτήσαντες πιμωρεῖται καὶ τὸ ισ'. κεφ. τῶν ιδ'. πίτ. λέ. βιβλίου ὅσα καὶ ἐνταῦθα κατεγράψη, καθὼ ὁ δὴ κεφ. ἑρμηνεῦσαι ὀφείλεις καὶ τὸ κβ'. κεφ. τῶν μά. πίτ. τῶν ξ'. βιβλίου. καὶ εἰπὲ ἐκεῖνον τῶν αἴσθον μὴ ὑποπίπτειν τῷ ἐγκλήματι τῶν πλαστῶ τῶν ἥπονα τῶ ζ'. ἐνιαυτῶ. ἀλλὰ καὶ τὸ μ'. κεφ. τῶν λζ'. πίτ. τῶ ξ'. βιβλίου ἵτως ἑρμήνευσον; τὸ γὰρ μὴ τῶν ὕβεσι ὑποκεῖσθαι τῶν νέον τῶ περὶ μοιχείας ἐγκλήματι, τοιοῦτόν ἐστι, ἤγουν τὸ ἐκχέσθαι αὐτὸν πλημμελοῦντα ἐ μόνον ἐν αἴσθοις ἀλλὰ καὶ μὴ ταῦτα. τὸ δὲ περὶ τῶ διαστροφῶν, ἔστι παρὰ κωμῳδίας διὰ τὸ αἰσχημότατον τῶν διαστροφῶν κωδικὸς, καὶ αὐτὸ τὸ ισ'. κεφ. τῶν ιδ'. πίτ. τῶν μδ'. βιβλίου φησὶν, ὅσα κατεγράψη ἐνταῦθα. πλὴν γίνωσκε ὅτι οἱ τοιοῦτοι ἄτηκοι ἐ κολάζονται ὡς οἱ τέλειοι, ἀλλὰ μετείως πιμωρεῖται. καὶ ζήτει βιβλίου λέ. πίτ. ις'. κεφ. ά. Δέκα τελευταῖον, καὶ βιβλίου ξ'. πίτ. ν'. κεφ. με. Δέκα β'. καὶ βιβλίου β'. πίτ. γ'. κεφ. ϛ'.

κεφάλαιον ισ'.

Τίνες ἐξ αἱρετικῶν εἰς τὴν ὀρθοδοξίαν μετιόντες βαπτίζονται, καί τινες μόνον χρίονται, συνόδου Νικαίας καινὼν ιθ'. συνόδου Λαοδικείας καινὼν ζ'. ἡ. συνόδου Κωνσταντινουπόλεως καινὼν ζ'. συνόδου ς'. καινὼν ϛέ. συνόδου Νικαίας τὸ β'. καινὼν ή. Βασιλείου καινὼν μζ'.

κεφάλαιον ιέ.

Πῶς ὁ δαιμονιζόμενος, ἢ ὃν νόζῳ παραφρονῶν, βαπτίζεται, Τιμοθέου καινὼν β'. δ'.

κεφάλαιον ις'.

Περὶ δὲ μὴ χρῆναι γυναῖκας ἐν ταῖς ἡμέραις τῆς καθάρσεως αὐτῶν βαπτισθῆναι, Τιμοθέου καινὼν ς'.

κεφάλαιον ιζ'.

Ε' αὶ ὁ κατηχούμενος πρὸ τοῦ βαπτίσματος κοινωνήσῃ, Τιμοθέου καινὼν α'.

ΤΙΤΛΟΣ Ε'.

ΠΕΡΙ τ̃ καταφρονούντων τῶν ἐκκλησιῶν καὶ συνάξεων, καὶ μνημῶν, καὶ τῶν ἐσθιόντων ἐν ἐκκλησίαις καὶ περὶ ἀγαπῶν

κεφάλαιον α'.

Περὶ τῶν διδασκόντων τὸν οἶκον τοῦ θεοῦ, καὶ τὰς συνάξεις, καὶ τὰς μνήμας εὐκαταφρονήσου, συνόδου Γαγγρῶν κανὼν ε'. ιθ'. συνόδου ς'. κανὼν ος'. πη'. ϟζ'.

κεφάλαιον β'.

Περὶ τοῦ μὴ ποιεῖν ἐν ἐκκλησίᾳ ἀγάπας καὶ ἐν αὐτῇ ἐσθίειν, συνόδου Λαοδικείας κανὼν κη'. συνόδου Καρθαγένης κανὼν μβ'. συνόδου ς'. κανὼν οδ'. ις'. ϟζ'.

κείμενον.

Καὶ ἡ γ'. διάτ. τοῦ ιβ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος κωλύει σοῦ προσφεύγοντας ἐσθίειν ἢ καθεύδειν ἐντὸς ναοῦ, ἀλλὰ διαγεῖν ἀσφαλῶς ἐντὸς τῶν προθύρων ἐν αὐλαῖς, καὶ στοαῖς, καὶ λούτροις, καὶ κήποις.

σχόλιον.

Ἡ γ'. διάτ. τοῦ ιβ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος, ἔστι βιβλίον ε'. τῶν βασιλικῶν τίτ. α'. κεφ. ια'. οὕτως ἔχον, μέχρι τῶν πρὸς τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων, τὸ ἀσφαλὲς ἐγέτωσαν οἱ προσφυγόντες ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασιν, ἢ αὐλαῖς, ἢ στοαῖς χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ, ἢ ἐσθίειν, ἢ ὑπνοῦν. ὅπλοις δὲ ἑαυτοὺς μὴ ἀσφαλιζέσθωσαν, ἀλλ' ἀποτιθέσθωσαν ταῦτα παρὰ τῷ ἐπισκόπῳ, ἢ πειθόμενοι πρῶτον, ἢ μετὰ ταῦτα ἐκβαλλόμενοι κατὰ κέλευσιν τοῦ ἐπισκόπου καὶ τῶν δικαστῶν.

κεφάλαιον γ'.

Περὶ τῶν εὐτελιζόντων τὰς γινομένας ἀγάπας, καὶ ὅτι οὐ δεῖ μέρη λαμβάνειν εἰς ἀγάπην, συνόδου Γαγγρῶν κανὼν ια'. συνόδου Λαοδικείας κανὼν κζ'.

ΤΙΤΛΟΣ ϛ'.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΠΕΡΙ καρποφοριῶν, ἀποστόλων κανὼν γ'. δ'. οα'. συνόδου ς'. κανὼν κη'. νζ'. οθ'. ϟθ'. Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον κανὼν β'.

κείμενον.

Ἡ λη'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου, φησὶν ὅτι οὐ δεῖ σοῦ ἐπισκόπους, ἢ τοὺς

ἢ σοῦ κληρικοὺς ἀναγκάζειν τινὰς καρποφορεῖν, ἢ ἀγγαρείας διδόναι, ἢ διὰ ταῦτα ἀφορίζειν, ἢ ἀναθεματίζειν, ἢ μὴ διδόναι κοινωνίαν, ἢ μὴ βαπτίζειν, κἂν ἔθος ἐκράτησε τοιοῦτο. ὁ δὲ παραβαίνων ἐκπίπτει τῆς ἐκκλησίας καὶ τῆς διοικήσεως αὐτῆς, καὶ δίδωσι δέκα λίτρας. ταῦτα δὲ κρατεῖ ἐν μόνῃ τῇ βασιλευούσῃ, καὶ τῇ ἐνορίᾳ αὐτῆς, καὶ τοῖς ἀνήκουσι τόποις τοῖς ὑπὸ τοῦ πατριάρχου χειροτονουμένοις μητροπολίταις, ἢ τοῖς ἐξ ἐκείνων γινομένοις ἐπισκόποις. ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ α'. κεφ. τοῦ β'. τίτ. τοῦ αὐτοῦ συντάγματος περὶ προσφορῶν καὶ τῶν δωρουμένων, ἢ καταλιμπανομένων εὐαγέσιν οἴκοις.

σχόλιον.

Ἡ λη'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

κεφάλαιον β'.

Τίνας δεῖ λαμβάνειν, ἢ διδόναι καρποφορίαν, καὶ περὶ τῶν λαμβανόντων ἀπὸ ἐκκλησίας κηρὸν, ἢ ἔλαιον, ἀποστόλων κανὼν οβ'. συνόδου Γαγγρῶν κανὼν ζ'. ξη'. Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν ζ'.

κείμενον.

Ἡ α'. διάτ. τοῦ θ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος, φησὶν ὅτι τὸ τῇ ὁμάδι ἰουδαίων ληγατευόμενον, οὐκ ἀπαιτεῖται, καὶ ἡ θ'. διάτ. τοῦ να'. τίτ. τοῦ αὐτοῦ βιβλίου, ὅτι ἐάν τι δωρηθῇ ἢ καταλειφθῇ ἐπὶ σοστάσει ἑλληνισμοῦ, ἡ πόλις αὐτὸ λαμβάνει.

σχόλιον.

Ἡ α'. διάτ. τοῦ θ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. ἡ δὲ ἐννάτη διάτ. τοῦ ια'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος, ἔστι βιβλίον τῶν βασιλικῶν α'. τίτ α'. κεφ. ιδ'. οὕτως ἔχον ὡς εἰς τὸ κείμενον συνωψίσθη.

ΤΙΤΛΟΣ

ΕΒΔΟΜΟΣ.

ΠΕΡΙ νηστείας, καὶ τῆς τεσσαρακοστῆς, καὶ κυριακῆς, καὶ σαββάτου, καὶ γονυκλισίας.

κεφάλαιον α'.

Περὶ νηστείας, καὶ τῶν κεκωλυμένων, ἢ ἐπιτετραμμένων γίνεσθαι ἐν τῇ τεσσαρακοστῇ τῶν νηστειῶν, ἀποστόλων κανὼν ξα'. ξθ'. συνόδου Γαγγρῶν κανὼν ιη'. ιθ'. συνόδου Λαοδικείας κανὼν μθ'. ν'. να'. νβ'. συνόδου ς'. κανὼν κβ'. νβ'. νε'. νϛ'. πθ'. Πέτρου κανὼν ιε'.

κείμενον.

Η ε΄. Διάτ. τοῦ ιβ΄. Τίτ. τοῦ γ΄. βιβλίου τοῦ κώδικος, φησὶν ὅτι ἐν ταῖς προλαβούσαις τοῦ πάσχα μ΄. ἡμέραις; πᾶσα ζήτησις τῶν ἐγκληματικῶν βασάνων σχολάζει. καὶ ἡ ϛ΄. Διάτ. ὅτι ἄπρακταί εἰσιν αἱ πρὸ τοῦ πάσχα ζ΄. ἡμέραι, καὶ ζ΄. μετὰ τὸ πάσχα, καὶ ἡ χριστουγέννα, καὶ τὰ θεοφάνια, καὶ ἡ τοῦ πάθους τῶν ἀποστόλων, καὶ ἡ κυριακὴ, καὶ ἐν ταῖς τοιαύταις ἡμέραις, οὔτε θέα τελεῖται οὔτε δίκη λέγεται. ἐν δὲ ταῖς ιε΄. ἡμέραις τοῦ πάσχα, οὔτε χρέος ἰδιωτικὸν, ἢ δημόσιον ἀπαιτεῖται. ἡ δὲ ζ΄. Διάτ. ἐπιτρέπει ἐν ταῖς αὐταῖς ιε΄. ἡμέραις ἐλευθερίας καὶ ἐμμαγκιπατίωνας πράττεσθαι, καὶ τὰ ἐπ' αὐταῖς ὑπομνήματα συνίστασθαι. ἡ δὲ η΄. Διάτ. φησὶν ὅτι καὶ ἐν τῇ μ΄. καὶ ἐν τῇ ἡμέρᾳ τοῦ πάσχα βασάνιζονται οἱ λῃσταὶ, ἐφ' ᾧ καὶ σοῦ συνίστορας ἐξειπεῖν, καὶ διαφερόντως οἱ ἴσαυροι. ἡ δὲ γ΄. Διάτ. τοῦ δ΄. Τίτ. τοῦ α΄. βιβλίου τοῦ κώδικος, φησὶν ὅτι ἐν ταῖς ἡμέραις τῆς πασχαλίας, οὐδεὶς ἐγκλείεται, ἢ δεσμεῖται πλὴν μοιχοῦ, καὶ αἰσχρουργοῦ, καὶ ἅρπαγος παρθένων, καὶ τυμβωρύχου, καὶ γόητος, καὶ παραχαράκτου, καὶ φονέως, καὶ πατροκτόνου, καὶ τυραννοῦ. πάντες γὰρ οὗτοι πάντοτε ἀπολαμβάνουσιν, ἅπαξ δὲ μόνον οἱ λοιποὶ συγγινώσκονται.

σχόλιον.

Η ε΄. διάτ. τοῦ ιβ΄. τίτ. τοῦ γ΄. βιβλίου τοῦ κώδικος, ἔστι κεφ. κβ΄. τοῦ ιζ΄. τίτ. τοῦ ζ΄. βιβλίου τοῦ βασιλικῶν. ἡ ϛ΄. διάτ. τοῦ αὐτοῦ τίτ. ἔστι κεφ. τοῦ αὐτοῦ βιβλίου τῶν βασιλικῶν. ἡ ϛ΄. διάτ. τοῦ αὐτοῦ τίτ. ἔστι κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. κγ΄. ἡ ζ΄. διάτ. ἔστι κεφ. κδ΄. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου. ἡ η΄. διάτ. ἔστι κεφ. κε΄. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου τὰ τῷ κειμένῳ περιεχόμενα λέγον. καὶ ἡ γ΄. διάτ. τοῦ δ΄. τίτ. α΄. βιβλίου τοῦ κώδικος, ἔστι κεφ. κϛ΄. τοῦ ιζ΄. τίτ. τοῦ ζ΄. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον σχεδὸν ὡς παρὰ τοῦ πατριάρχου συνωψίσθη. Εἰ θέλεις δὲ μαθεῖν ἀκριβῶς κατὰ ποίαν ἡμέραν ἀπρακτοῦσι τὰ δικαστήρια, ἀνάγνωθι τὴν κτ΄ τοῦ μάρτιον μῆνα τῆς ιδ΄. νεαρᾶς τοῦ ϛχοδ΄. ἔτους ἀπολυθεῖσαν προσκυνητὴν νεαρὰν τοῦ θεοστεφοῦς, κρατίστου, καὶ ἁγίου ἡμῶν αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ, καὶ ταῦτα μετὰ τὸ προοίμιον διαλαμβάνουσαν, θεσπίζομεν ὅτι ἐκείνας εἶναι τῶν ἡμερῶν ἀπράκτους ἃς ἐν τῇ παρούσῃ διατάξει ῥητῶς ἀπαριθμησόμεθα, καί τινας μὲν αὐτῶν τὸ παντὴ ἄπρακτον ἔχειν ὡς μηδαμῶς διόλου τοῦ αὐτῶν διαστήματος συνίστασθαι δικαστήριον, εἰ μὴ βασιλεὺς ἴσος οἰκονομίας τρόπῳ, ἢ ἀνάγκης ἡποῖα πολλάκις τὸ περιπετὲς τῶν πραγμάτων νεανιεύεται, θελήσῃ καθῖσαι καὶ ἐν αὐταῖς δικαστήρια, τινὰς δὲ ἀπὸ μέρους ἄγειν τῶν δικαστηρίων σχολὴν, ὡς οἷον ἔωθεν μέχρι καὶ εἰς αὐτὸν τῆς θείας λειτουργίας καιρὸν, ἵνα τοῖς δικασταῖς ἐξίῃ προσανέχειν εὐχῇ, καὶ τῇ περὶ τὸ θεῖον δοξολογίᾳ, καὶ μετὰ τὴν θείαν ἱεροτελεστίαν ἐπιμελεῖσθαι καὶ τῆς δικαιοσύνης, καὶ τοῖς ἄδικα πεπονθόσιν ἐπαρήγειν κτ΄ τὴν τῶν νόμων ἰσχύν. οἱ μὲν τοι οὕτω μετὰ τὴν θείαν λειτουργίαν ἐπιτετραμμένοι δικάζειν ἐν τοῖς γινομένοις παρ' αὐτῶν σημειώμασι μεμνήσονται τοῦ καιροῦ καθ' ὃν τὰ σημειώματα πράττονται. καὶ δὴ πρῶτον περὶ τῶν τελέως ἀπράκτων διαληπτέον. ἡ τοίνυν κατὰ τὴν η΄. τοῦ σεπτεμβρίου μηνὸς γενεθλίου ἡμέραν τῆς παναχράντου δεσποίνης,

καὶ θεομήτορος, ἄπρακτός ἐστιν. ὡσαύτως καὶ ἡ ιδ΄. τῇ ὑψώσει τετιμημένῃ τοῦ ζωηφόρου σταυροῦ, καὶ ἡ κϛ΄. διὰ τὴν τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου θεολόγου μετάστασιν. ἡ ϛ΄. τοῦ ὀκτωβρίου διὰ τὸ τὴν μνήμην ἐν αὐτῇ τελεῖσθαι τοῦ ἁγίου ἀποστόλου Θωμᾶ. ἡ θ΄. διὰ τὸν τοῦ Ἀλφαίου Ἰάκωβον τὸν ἀπόστολον. καὶ ἡ ιη΄. διὰ τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν Λουκᾶν. ἡ ιγ΄. τοῦ νοεμβρίου μηνὸς, ὅτι ἐν αὐτῇ ἡ μνήμη τοῦ Χριστοῦ πατρὸς τελεῖται. ἡ ιδ΄. ὅτι ἐν αὐτῇ ὁ ἀπόστολος Φίλιππος ἑορτάζεται. ἡ ιϛ΄. ὅτι ὁ εὐαγγελιστὴς καὶ ἀπόστολος τιμᾶται Ματθαῖος. ἡ κα΄. ὅτι τὰ εἰς τὸν ναὸν εἰσόδια τῆς θεομήτορος ἐν ταύτῃ πανηγυρίζεται. καὶ ὁ λ΄. ὅτι ὁ ἀπόστολος Ἀνδρέας ἐν αὐτῇ ἑορτάζεται. ἡ θ΄. τοῦ δεκεμβρίου ὡς τῆς συλλήψεως ἐν αὐτῇ τελουμένης τῆς ὑπεραγίας μητρὸς τοῦ θεοῦ ἡμῶν. ἡ κ΄. μέχρι καὶ αὐτῆς ταῖς ϛ΄. τοῦ ἰανουαρίου ὡς ἐν αὐταῖς ἑορταζομένων τῶν γενεθλίων, καὶ τοῦ βαπτίσματος τοῦ κυρίου, καὶ θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἡ ιη΄. τοῦ αὐτοῦ ἰανουαρίου διὰ τοὺς θείους πατέρας καὶ διδασκάλους πατέρας Ἀθανάσιον καὶ Κύριλλον. ἡ κε΄. τοῦ αὐτοῦ μηνὸς διὰ τὴν μνήμην τοῦ μεγάλου πατρὸς Γρηγορίου θεολόγου. ἡ β΄. τοῦ φευουαρίου διὰ τὴν τοῦ σωτῆρος ὑπαπαντὴν. καὶ ἡ γ΄. διὰ τὴν τῆς μνήμης τοῦ θεοδόχου Συμέων τελετὴν. ἡ κε΄. μαρτίου, διὰ τὸν τῆς θεομήτορος εὐαγγελισμόν. αἱ πασχάλιοι τῶν ἡμερῶν ἀπ' αὐτῆς τῆς τοῦ Λαζάρου ἐγέρσεως μέχρι καὶ ἐς αὐτὴν τὴν μετὰ τὸ ἅγιον πάσχα ὀγδόην. ἡ κε΄. τοῦ ἀπριλλίου διὰ τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν Μάρκον, καὶ ἡ λ΄. διὰ τὸν ἀπόστολον Ἰάκωβον τὸν τοῦ θεολόγου καὶ εὐαγγελιστοῦ ἀδελφόν. ἡ η΄. τοῦ μαίου διὰ τὴν μνήμην τοῦ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου. ἡ ι΄. διὰ τὴν τοῦ ἀποστόλου Σίμωνος τοῦ ζηλώτου. ἡ κα΄. διὰ τὴν μνήμην τῶν ἁγίων καὶ ἰσαποστόλων καὶ μεγάλων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης. καὶ ἡ κϛ΄. διὰ τὴν τοῦ ἀποστόλου Ἀλφαίου τοῦ Ἰούδα. ἡ ια΄. τοῦ ἰουνίου διὰ τὸν ἀπόστολον Βαρθολομαῖον. ἡ ιθ΄. διὰ τὸν ἀπόστολον Ἰούδαν τὸν καὶ Θαδδαῖον, καὶ Λεββαῖον, καὶ Ἰάκωβον. ἡ κδ΄. διὰ τὸ τοῦ προδρόμου γενέθλιον. ἡ κθ΄. διὰ τὸν ἐπὶ τοῖς κορυφαίοις τῶν ἀποστόλων Πέτρου καὶ Παύλου πανήγυριν. καὶ ἡ λ΄. διὰ τὸν ἐπὶ τοῖς ιβ΄. ἡ κε΄. τοῦ ἰουλίου διὰ τὸν τῆς ἁγίας Ἄννης τῆς μητρὸς τῆς θεομήτορος κοίμησιν. ἡ ϛ΄. τοῦ αὐγούστου διὰ τὸν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταμόρφωσιν. ἡ θ΄. διὰ τὸν μνήμην τοῦ ἁγίου ἀποστόλου Ματθαίου. ἡ ιε΄. διὰ τὸν ὑπερένδοξον τῆς ἁγίας θεοτόκου μετάστασιν. ἡ κ΄. διὰ τὴν μνήμην τοῦ ἁγίου ἀποστόλου Θαδδαίου. ἡ κδ΄. διὰ τὸν τοῦ ἀποστόλου Βαρθολομαίου. καὶ ἡ κθ΄. διὰ τὸν τοῦ τιμίου προδρόμου ἀποτομήν. ταύταις ὡς τέλεον ἀπράκταις συνεξετασθήσονται καὶ αἱ μεσότητες τῆς τεσσαρακονθημέρου νηστείας καὶ τῆς πεντηκοστῆς, καὶ ἡ τοῦ σωτῆρος ἀνάληψις, καὶ αἱ πᾶσαι τῶν ἐν τῷ ἐνιαυτῷ ἡμερῶν κυριώνυμαι, ὡς ἐν αὐταῖς ἀποκεκλεῖσθαι πᾶσαν πάροδον εἰς τὸ δικαστήριον, καὶ μηδέν τι μηδένα τῶν δικάζειν λαχόντων δικαστικὸν διαπράττεσθαι, αἵ γε μὲν τῶν δικαστηρίων ἀπὸ μέρος σχολάζουσαι καὶ μὴ καθ' ὁλόκληρον ὡς προειλήφαμεν ἀπρακτήσουσαι εἶεν ἂν αὐταὶ, ἡ ϛ΄. τοῦ σεπτεμβρίου μηνὸς ὅτι ἐν αὐτῇ τὸ ἐν χώνοις τοῦ ἀρχιστρατήγου Μιχαὴλ θαῦμα τετερατούργηται. ἡ κγ΄. τοῦ ὀκτωβρίου, ὅτι τὴν μνήμην τοῦ ἀδελφοθέου Ἰακώβου τελοῦμεν. ἡ κϛ΄. ὅτι τὸν μεγαλομάρτυρα καὶ μυρόβλητον Δημήτριον ἑορτάζομεν. ἡ α΄. τοῦ νοεμβρίου διὰ τὸ τοὺς θαυματουργοὺς καὶ ἀναργύρους κοσμᾶν, καὶ Δαμιανὸν ἑορτάζεσθαι. ἡ η΄. διὰ τὸν σύναξιν τῶν ἀσωμάτων τελεῖσθαι. καὶ ἡ κη΄. διὰ τὸ τὸν ὁσιομάρτυρα Στέφανον τὸν νέον πανηγυρίζεσθαι. ἡ δ΄. τοῦ δεκεμβρίου διὰ τὸν καλλιμάρτυρα Βαρβάραν. καὶ ἡ ϛ΄. διὰ τὸν ἐν θαύμασι περιώνυμον καὶ μυροβλύτην Νικόλαον. ἡ ι΄. τοῦ ἰανουαρίου διὰ τὸν Νύσσης θεῖον Γρηγόριον. ἡ ιϛ΄. διὰ τὸν προσκύνησιν τῆς τιμίας τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου ἀλύσεως. ἡ ιθ΄. διὰ τὸν ἀνακομιδὴν τοῦ τιμίου νεκροῦ τοῦ θεολόγου. καὶ ἡ κζ΄. διὰ τὸν ἀνακομιδὴν τοῦ σεβασμίου λειψάνου τοῦ Χρυσοστόμου. ἡ ζ΄.

τῆ ἁγιωτερίου διὰ τ μεγαλομάρτυρα στρατηλάτην Θεόδωρον. καὶ ἡ ιζ. διὰ τ ἀθλησάσης Θεόδωραν τ Τήζωνα. ἡ θ'. τῆ μαρτύρου, ὡς τ μνήμης τελουμένης τῶν ἁγίων μαρτύρων τῆ Χριστῆ μ'. ἡ κγ'. τῆ ἀποστολίᾳ ὡς τῆ μεγαλομάρτυρος Γεωργίου τιμωμένου. ἡ β'. τῆ μαΐᾳ διὰ τ μέγαν Ἀθανάσιον. ἡ ή. τῆ ἰουνίου διὰ τ μεγαλομάρτυρα στρατηλάτην Θεόδωρον. ἡ θ'. διὰ τ ὅσιον πατέρα ἡμῶν Κύριλλον Ἀλεξανδρείας. καὶ ἡ κζ. διὰ τ ὅσιον καὶ θαυματουργὸν Σαμψών. ἡ α'. τῆ ἰουλίου ὅτι ἐν αὐτῇ τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων τὰ μνήμια τελοῦμεν. ἡ β'. ὅτι τῆς καταθέσεως τῆς τιμίας ἐσθῆτος τῆς θεομήτορος μνημονεύομεν. ἡ ή. ὅτι τὸν μεγαλομάρτυρα Πεσκόπιον ἑορτάζομεν. ἡ ια'. ὅτι τὰ καλλιμάρτυρα Εὐφημίαν πανηγυρίζομεν. ἡ κ'. ὅτι τὸν προφήτην Ἠλίαν τιμῶμεν. ἡ κζ'. ὅτι τὸν ἀθλοφόρον καὶ θαυματουργὸν Παντελεήμονα ἑορτάζομεν. καὶ ἡ τῆ αὐγούστου λά. διὰ τὴν τῆς τιμίας ζώνης τῆς ἁγίας Θεοτόκου κατάθεσιν. αὐτὰ δὴ ταῦτα καὶ ὅσοι μὴ ἕλληνες, πῶς ἂν ἑλληνίσειαν; τὰς μὲν τοι διὰ βασιλικῶν ἡγήσηται, ἢ αἱ ἀρχεῖα σχολάζουσι τῶν ἡμερῶν, καὶ τούτας ταῖς ἑλληνίσιν ἐγκρίνει ἡ βασιλεία μου, ἀφ' ἑαυτῆς ἀρχομένη τῆ παρόντος θεσμοθετήματος, καὶ ἐν οἷς αὐτὴ διαφορέζατο διδάσκουσα τοὺς λοιποὺς. ἔχ ὕτω γὰρ ὁ τῆς παρούσης διατάξεως λόγος πείσει τοὺς αὐτῷ προσανέχοντας, ὡς ἡ παρὰ τῆς βασιλείας μου φωνή, αὐτὰς γὰρ ταῖς ἡμέραις ἐν αἷς ἡ βασιλεία μου καὶ εἰς τ τῆδε βίον προσκηκεν, καὶ εἰς βασιλέα προσηνέχθη θεῷ ἀνηγόρευται, ἑλληνίσιον ἔξ) θεωρίζει, καὶ μηδεμίαν ἐκλογὴν ἐν ταύταις ἄγειν τὰ δικαστήρια. πᾶσαι μὲν τοι αἱ παρὰ ταῖς αὖω καταγραφείσαις ἡμέραις τῆ χρόνου, καὶ ἑλληνίσιοι ἔσονται, καὶ δικαστήρια ἐν αὐταῖς ἡγήσονται, καὶ ἐκδίκασμοὶ ἀκολούθως τοῖς δικαστικοῖς ἀποφάσεσι. πέπεισμαι ἢ ὅτι καὶ θεῷ φίλον ἔσται τὸ παρὸν τῆς βασιλείας μου θεσμοθέτημα, τοιγαροῦν γὰρ τοὺς φαεσιστάτους ὁ κύριος, καὶ αὐτῆ τῆ ἐλέου τ κρίσιν προσλέξεται.

κεφάλαιον β'.

Περὶ τῆ μήτε τὴν λεχὼ, μήτε τὸν ὀκνοῦντα μὴ δυνάμενον ἀναγκάζεσθαι τὸ πάσχα ποιεῖσθαι, Τιμοθέου καισαρείας ἡ. ί.

κεφάλαιον γ'.

Περὶ τῆς ἡμέρας, καὶ τῆς ὥρας τῆς πασχαλίου, καὶ τῶν θεοφανίων, ἀποστόλων κανὼν ζ'. συνόδου Ἀντιοχείας κανὼν α'. συνόδου Καρθαγένης κανὼν ογ'. συνόδου ς'. κανὼν ξς'. πατέρων. Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς, κανὼν α'. Θεοφίλου ἐκ τῆς περὶ τῶν θεοφανίων προσφωνήσεως.

κεφάλαιον δ'.

Περὶ τοῦ μὴ χρῆναι ἐν κυριακῇ θεωρίαν γίνεσθαι, ἢ γόνυ κλίνειν ἐν κυριακῇ, ἢ ἐν ταῖς ἡμέραις τῆς πεντηκοστῆς, καὶ ὅτι καὶ τὸ ἐγχωροῦν δεῖ σχολάζειν τῇ κυριακῇ, ἐ μὲν τὸ σάββατον, καὶ ὅτι δεῖ γραφὰς ἀναγινώσκειν τὸ σάββατον, συνόδου Νικαίας κανὼν ή. συνόδου Λαοδικείας κανὼν κθ'. συνόδου Καρθαγένης κανὼν ξά. συνόδου ς'. κανὼν ιθ'. ξς'. Πέτρου κανονικὸν. Θεοφίλου ἐκ τῆς περὶ τ θεοφανίων προσφωνήσεως.

κείμενον.

Μ ς'. Ματθ. Ξ ιβ'. Μκ. Ξ γ'. βιβλίου ξ κώδικος λέγει τῇ κυριακῇ

ἄπρακτον εἶναι. ἡ ἢ θ'. Ματθ. Ξ αὐτοῦ Μκ. ὅτι ἐν αὐτῇ ἐκ ὑπομενήσκεταί τις, ἢ ἐγγύας ἀπαιτεῖται, ἢ δημόσιον ἢ ἰδιωτικὸν χρέος, ἔτε δικάζεται, ἔτε σκηνικὴ θέα, ἢ ἱπποδρόμιον τελεῖται, ἀλλ' εἰκὶ φθάσῃ βασιλέως νατάλιον ἐν κυριακῇ ὑπερτιθεται τὸ θεώρημον. ὁ ἢ θεωρῶν ἐν κυριακῇ ἀποστατοῦται καὶ δημοῦται, καὶ ὁ ἐμβιβασὴς παραβαὶς τ νόμον. ἔξεστι ἢ πακτοῦειν καὶ θριαλύεσθαι ἐν κυριακῇ. εἴρηται ἢ βιβλίῳ α'. τίτ. θ'. Ματθ. β'. ιγ'. ὅτι οἱ ἰσθμοὶ ἐν τῷ σαββάτῳ, καὶ τῆς ἄλλας αὐτῶν ἑορτῆς, ἔτε σωματικῶς λειτουργῶσιν, ἔτε τι ποιῶσιν, ἔτε διὰ δημοσίαν ἢ ἰδιωτικὴν αἰτίαν ἐνάγονται, ἢ χρεωστοῦς ἐνάγουσιν.

σχόλιον.

Ἡ ς'. διάτ. τοῦ ιβ'. τίτ. τῆ γ'. βιβλίου τῆ κώδικος, καὶ ἡ θ'. διάτ. τῆ αὐτῆ βιβλίῳ καὶ τίτ. εἰσὶ κεφ. τελευταῖον τῆ ιζ'. τίτ. τῆ ζ'. βιβλίου τῆ βασιλικῶν ἕτως ἔχον σχεδὸν ὡς ἐντὸς διελήφθη, πλὴν τὸ μὲ πλάτος κυριακῆς μόνης ἐμέμητο, ὁ ἢ βασιλικὸς πᾶσαν ἡμέραν ἀφωρισμένος εἰς τὴν τ θεῆ πρὸς ἐμπαίδαι διοείζεται. θεσπίσωσι ἢ σωτῆρ καὶ τὸν ταξιάρχας. καὶ τὸν δικαίους, καὶ τὸν κύριος, γένεσθαι ἢ πάντα τὰ συναλλαγματικὰ σύμφωνα ἀκωλύτως ἐ μόνον δὲ ἀγορέων ἐγγράφων, ἀλλὰ καὶ διὰ σημειωμάτων δικαίων. κατάλια δὲ εἰσι τὰ τῶν βασιλέων γνώθλια, καὶ ἡ τότων αὐξήσεως. ἡ β'. διάτ. τῆ θ'. τίτ. τῆ α'. βιβλίου τῆ κώδικος ὁλόκληρα εἰς τὰ βασιλικά. ἡ ἢ ιγ'. διάτ. τῆ αὐτῆ βιβλίου καὶ τίτ. ἔστ βιβλίον τῶν βασιλικῶν α'. τίτ. α'. κεφ. λή. ἕτως ἔχον ὡς εἰς τὸ κείμενον ἐγγράφη.

κεφάλαιον έ.

Τὶς ἡ αἰτία γονυκλισίας, καὶ τῆ μὴ τῆτο γίνεσθαι ἐν κυριακῇ, καὶ τῶν ἡμέραις τῆς πεντηκοστῆς, καὶ Ματθ. τ πρὸς αὐτοὺς ὀχόμεθα, Βασιλείᾳ ὀκ τῆ κζ. κεφ. τῶν πρὸς Ἀμφιλόχιον περὶ τῆ ἁγίου πνεύματος.

ΤΙΤΛΟΣ Η'.

ΠΕΡΙ παροικιῶν, καὶ πῶς διάγουσιν ἐπίσκοποι, καὶ κληρικοὶ, καὶ περὶ ἀποδημίας αὐτῶν, καὶ περὶ τῶν κατ' ἔτος συνόδων, καὶ ξενοδοχίας, καὶ διδασκαλίας, καὶ συστατικῶν, καὶ εἰρηνικῶν ἐπιστολῶν, καὶ πῶς πράττουσι ἰδιωτικὰ, ἢ δημόσια πράγματα, καὶ πῶς οἱ κληρικοὶ ἀλλήλους τιμῶσι.

κεφάλαιον α'.

Περὶ παροικιῶν, καὶ τῶν ἀπὸ βασιλικῶν τύπων γραφέντων κανονισμῶν, συνόδου Χαλκηδόνος κανὼν ιζ'. συνόδου Καρθαγένης κανὼν νγ'. νς'. οέ. συνόδου ς'. κανὼν κέ. λς'. λζ'. λή. λθ'.

κείμενον.

Η ς'. Διάτ. τῆ β'. Κτ. τῆ α'. βιβλίῳ τῶ κώδικος, φησὶν ὅτι τὰς ἀναφυομένας καινοτομὰς ἀμφισβητήσεις ἐν ὅλῳ τῷ Ἰλλυρικῷ ὁ δεῖ τέμνεσθαι παρὰ γνώμῃ τῆ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τῆς αὐτοῦ συνόδου, ἧς ἔχει τὰ πρεσβεῖα τῆ δεχαίας Ῥώμης. ἡ ιϛ'. διάτ. ἀκυροῖ τὰ ψηφισθέντα ἐν τῆ κῆ Ζωίλου τῶ τυραννίδι, παρὰ τὰ πρώην βασιλικὰ διατάγματα περὶ ἱερέων, ἢ καθαιρέσεων ἐκκλησιαστικῶν, καὶ τὰ πρώην αὐανεώτατα, καὶ φησὶ τὴν Κωνσταντινουπόλεως δεχιεπισκοπὴν ἔχειν τὰ ἄλλων πρεσβεῖα. ἡ ιε'. διάτ. τῆ γ'. Κτ. τῆ α'. βιβλίῳ λέγει, ἑκάστη πόλις ἴδιον ἐχέτω ἐπίσκοπον. κἂν ἡ διὰ θείας ἀνυχαφῆς τολμήσῃ τις ἀφελέσθαι πόλιν τῆ ἰδίᾳ ἐπισκόπου, ἢ τῆ περιοικίῳ τῶν αὐτῆς, ἤτοι ἄλλα δίκαια, γυμνᾶται τῶν ὄντων καὶ ἀτιμοῦται. ἐξήρηται ἡ Τόμεων Σκυθίας πόλις, ἐν ᾗ ἐπίσκοπος αὐτῆς, καὶ τῆ λοιπῶν πρωτοεῖ, ἡ Λεοντόπολις Ἰσαυρίας, ὑπὸ τὴν ἐπισκοπὴν ἐστὶν Ἰσαυροπόλεως. ὅπου ἡ Κωνσταντινούπολις ἔχει τὰ πρεσβεῖα τῆς δεχαίας Ῥώμης, εἴρηται βιβλίῳ α'. τῶ κώδικος Κτ. καὶ Διάτ. α'. καὶ μόνῃ. ἡ ά. Διάτ. τῆ ιζ'. Κτ. τῆ α'. βιβλίῳ τῶ κώδικος, Ῥώμῃ αὐτῇ ὀνομάζεσθαι λέγει.

σχόλιον.

Ἡ ς'. διάτ. τῆ β'. πτ. τῆ α'. βιβλίῳ τῶ κώδικος, ἔστι κεφ. ς'. τῆ α'. πτ. τῆ ε'. βιβλίῳ τῶν βασιλικῶν ὅτως ἔχον ὡς κατεγράφη. τὸ δὲ ἔχει ἡ Κωνσταντινουπόλεως τὰ πρεσβεῖα τῆς παλαιᾶς Ῥώμης, ὁ πρεσβεύει εἰς τὰ βασιλικά. αὐάγνωθι καὶ ἡ κα'. κεφάλαιον δ'. συνόδου, καὶ τὰ ἐν αὐτῷ γραφέντα. ἡ ιϛ'. διάτ. τῆ β'. πτ. τῆ α'. βιβλίου τῶ κώδικος ὁμοίως εἰς τὰ βασιλικά. ἡ λέ. διάτ. τῆ γ'. πτ. τῆ α'. βιβλίου τῆ κώδικος, ἔστι κεφ. γ'. τῆ α'. πτ. τῆ γ'. βιβλίῳ τῶν βασιλικῶν ὅτως ἔχον ὡς εἰς τὸ κείμενον συνωφθη ἄνευ τῆ ἔχειν ἡ Κωνσταντινουπόλεως τὰ πρεσβεῖα τῆς ἀρχαίας Ῥώμης. ἡ α'. διάτ. τῆ κά. πτ. τῆ ια'. βιβλίῳ τῆ κώδικος, ἔστι κεφ. ς'. τῆ α'. πτ. τῆ ε'. βιβλίῳ τῶν βασιλικῶν ὅτως ἔχον, ἡ Κωνσταντινούπολις μὴ μόνον τῆς Ἰταλίας, ἀλλὰ καὶ αὐτῆς τῆς Ῥώμης πρεσβεύειν κεχρήκασι. ἡ ἡ α'. διάτ. τῆ ιζ'. πτ. τῆ α'. βιβλίῳ τῆ κώδικος, ἔστι κεφ. κ'. τῆ ς'. πτ. τῆ β'. βιβλίῳ τῶν βασιλικῶν ὅτω λέγον, τῇ συνηθείᾳ τῆς Ῥώμης ἀκολουθεῖν ὀφείλει. διὰ δὲ εἶσι τὰ πρεσβεῖα τῆς ἐν τῇ παλαιᾷ Ῥώμῃ ἁγίας ἐκκλησίας, παείσιον ἡμῖν τὸ παρὰ τῆ ἰσαποστόλου ἁγίου μεγάλου Κωνσταντίνου γεγονὸς ἔγγραφον θέσπισμα πρὸς τὸν ἅγιον Σίλβεστρον τὸν τότε πάπαν τῆς Ῥώμης, ὁ καὶ ἔχει ὅτως, δέον ἐκείναμὲν μετὰ πάντων τῶν κατεπαῦθ' ἡμῶν καὶ πάσης τῆς συγκλήτου, καὶ τῶν ἀρχόντων, καὶ μετὰ πάντας τῆ λαοῦ τῆ ὑπὸ τὴν ἐξουσίαν τῆς ῥωμαϊκῆς δόξης ἵνα ὡς ὁ ἅγιος Πέτρος ἐν προσώπου τοῦ ὑῆ τοῦ Θεοῦ ἐστιν εἰς τὴν γῆν, ὅτω καὶ οἱ ἐπίσκοποι οἱ διάδοχοι τῆ κορυφαίου τῆ ἀποστόλων αὐχοῦσαν ἐξουσίαν εἰς τὴν γῆν ἔχωσι. πολὺ παρέχει ἡ βασιλεία τῆς δόξης ἡμῶν, καὶ τοῦτο παρεχωρήθη ἀφ' ἡμῶν, καὶ ἀπὸ τῆ βασιλείας ἡμῶν, καὶ δέλομεν ἡμεῖς αὐτὸν τῆ κορυφαίου τῆ ἀποστόλων, καὶ τὸν διάδοχος αὐτοῦ ἐν προσώπου αὐτοῦ τροπῶσι προς τῆ Θεὸν πατέρας εἶναι καὶ δεσπόσωρας. καὶ ὥσπερ ἡ βασιλικὴ ἐξουσία ἡμῶν εἰς τὴν γῆν στέφεται, καὶ τιμᾶται, ὅτω δεσπόζομεν στέφεσθαι καὶ τιμᾶσθαι τὰ ἁγία τῶν ῥωμαίων ἐκκλη-

σίαν, καὶ πολέον παρὰ τὴν βασιλείαν ἡμῶν, καὶ τὴν γῆνον θρόνον ἁγίαν καθέδραν τῆ ἁγίου Πέτρου δοξάζεσθαι, καὶ ὑψοῦσθαι, διδόντες αὐτῇ δυνάμιν καὶ δόξης ἀξίωμα, καὶ διακρίνοντες θεσπίζομεν ἵνα ἐξουσίαν ἔχῃ ἀρχικὴν, καὶ ἐπὶ τούτῳ κεφαλαίῳ τῆ τεσσάρων θρόνων, ἤτοι τοῦ θρόνου τῆ Ἀλεξανδρείας, τῆς Ἀντιοχείας, τῆ Ἱεροσολύμων, καὶ τῆ Κωνσταντινουπόλεως, καὶ ἁπάντων εἰς ὅλας τὰς ἐκκλησίας ἁπάσης τῆς οἰκουμένης. καὶ ὁ σπουδαῖος ὁ μέλλων ἐπὶ εἰς τὴν ἁγίαν τῆ ῥωμαίων ἐκκλησίαν ὀφείλει εἶναι εὐδόξος καὶ ὑψηλότερος παρὰ πάντας τὸν ἱερεῖς τῆ κόσμου, καὶ εἴπερ ἐσὶ πρὸς διόρθωσιν τοῦ Θεοῦ, καὶ πρὸς διόρθωσιν καὶ στερέωσιν τῆς πίστεως τῶν χριστιανῶν ἵνα κρίνηται παρ' αὐτῆ, δίκαιον γάρ ἐστ ἵνα ἐκεῖσε ὁ ἅγιος νόμος ἔχῃ τῆ κεφαλὴν, καὶ ἀρχὴν, ὅπου ὁ ἅγιος νομοθέτης ὁ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς τῆ μακάριον ἀπόστολον Πέτρον ἐκέλευσε κρατεῖν τῆ καθέδραν, καὶ ὅπου τὸ πάθος τοῦ σωροῦ ἔπαθε, καὶ μακαρίου θανάτου ἀντίμοιον ἔπαθε, καὶ ἐγκέστο τοῦ μαθητοῦ ἀκόλουθος καὶ κυρίῳ τῷ, καὶ ἐκεῖ τὰ ἐδνὴ ἵνα κλίνωσι τὰς κεφαλὰς αὐτῶν διὰ τῆ ὁμολόγησιν τοῦ ὀνόματος τοῦ Χριστοῦ, ὅπου ὁ διδάσκαλος αὐτῶν ὁ μακάριος ἀπόστολος Παῦλος διὰ τῆ Χριστὸν ἀνατείνας τῆ πράχηλον σφάγιον τοῦ μαρτυρίου ἐδέξατο, καὶ ἕως τοῦ τέλους τοῦ κόσμου ἵνα ἀναζητῶσι ὅπου τὰ τῆ ἁγίων αὐτοῦ λείψανα ἀναπαύονται, καὶ ἐκεῖ ὑπῆοι, καὶ εἰς τὴν γῆν ἠπλωμένοι τοῦ θρονίου, καὶ βασιλέως, καὶ Θεοῦ, καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ δουλεύομεν ὡς ὀφείλομεν ὅπου ἐδουλεύσαμεν τῷ ἀληθινῷ σκεύῃ βασιλεῖ. παρὰ διδάσκομεν ὧν αὐτοῖς τοῖς ἁγίοις ἀποστόλοις τοῖς μακαρίοις κυρίοις μου τῷ Πέτρῳ, καὶ τῷ Παύλῳ, καὶ μετ' αὐτὸν τῷ μακαρίῳ Σιλβέστρῳ, καὶ πατρὶ ἡμῶν τῷ μεγάλῳ ἐπισκόπῳ καθολικῷ πάπᾳ τῆ πόλεως Ῥώμης, καὶ πᾶσι τοῖς διαδόχοις αὐτοῦ, οἵπερ ἕως τοῦ τέλους τοῦ κόσμου μέλλουσι θρονιάζεσθαι εἰς τῆ θρόνου τοῦ μακαρίου Πέτρου ἀπὸ τῶν ἀνατολῶν τὸ ἡμέτερον βασιλικὸν παλάτιον τὸ λατερανέσιον τὸ ἀνέκαινον καὶ ἀνεγκαινιοῦν τὰ ὅλα τοῦ κόσμου παλάτια. ἕως ἂν ἐκείνα ᾖ καὶ τὸ διάδημα ἢ τι τῆ στέμμα τῆς κεφαλῆς ἡμῶν, ἅμα καὶ τῆ λῶρον καὶ τὸ ὡμοφόριον ὅπερ φορεῖ ἐκκλησιὸν τῆ βασιλικὸν πράχηλον, ἅμα ᾖ καὶ πορφυρᾶν χλαμύδα, καὶ χιτῶνα κόκκινον, καὶ πάντα τὰ βασιλικὰ ἐνδύματα καὶ ἀξιώματα τῆ βασιλικῶν ἀλόγων, ὁμοίως καὶ τὰ βασιλικὰ σκῆπτρα, καὶ πάντα τὰ σήγμα, καὶ τὰ βάνδα, καὶ τὰ λοιπὰ κοσμήματα τῆς βασιλικῆς μεγαλειότητος, καὶ τὴν δόξαν τῆς ἡμῶν ἀξιοπρεπείας αὐθεντείας τε ἐυσεβεστάτου κλήρου πολλῶν τάξεων τῆ αὐτῆ ἁγίᾳ ῥωμαϊκῇ ἐκκλησίᾳ δουλεύοντας θεσπίζομεν κοσμεῖσθαι, καὶ ἔχειν ἐκείνην τὴν ὑψηλότητα καὶ μεγαλωσύνην, ὡς κεκόσμηται ἡ μεγάλη σύγκλητος ἡμῶν, ἤτοι οἱ πατρίκιοι, καὶ οἱ κόνσουλοι ἤτοι οἱ ὕπατοι, καὶ τὰ λοιπὰ ἀξιώματα, καὶ ὡς ἡ βασιλικὴ χρατιὰ κεκόσμηται, ὅτω θεσπίζομεν κοσμεῖσθαι καὶ τῆ κλῆρον τῆ ἁγίας ῥωμαίων ἐκκλησίας. καὶ οἷον τρόπον ἡ βασιλικὴ δυνάμις διὰ πολλῶν ὀφφικίων κεκόσμηται, ἤτοι κυβικουλαείων, πρεταείων, ἐξκουβίτων, ὅτω καὶ τῆ ἁγίαν τῶν ῥωμαίων ἐκκλησίαν κοσμεῖσθαι θέλομεν, καὶ ἵνα κῆ πλάτος τὸ ὀπισθοτικὸν φῶς λάμπῃ, θεσπίζομεν καὶ τοῦτο ἵνα οἱ κλειροὶ τῆς ἁγίας ῥωμαίων ἐκκλησίας καβαλικεύωσιν ἄλογα κεκοσμημένα διὰ ὀδονίων λευκῶν. καὶ ὡς ἡ ἡμετέρα σύγκλητος φορεῖ καμήλαυκα ἤτοι σαμβάλια λευκὰ διὰ ὀδονίων λευκῶν, ὅτω καὶ τὰ ὑποδήματα, ὡς καὶ τὰ γένεια πρὸς αἴνεσιν τῆ Θεοῦ ἐπέκεινα ᾖ πάντων διδόαμεν ἄδειαν, καὶ παρεχωροῦμεν αὐτῷ τῷ ἁγιοτάτῳ πατρὶ ἡμῶν τῷ Σιλβέστρῳ ὁπισθόπαπᾳ καὶ πάπᾳ τῆς πόλεως Ῥώμης, καὶ πάσοις τοῖς διαδόχοις ὁπισθόπαις ἐρθοδόξοις μακαρίοις εἰς τιμὴν καὶ δόξαν τῆ κυρίου, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τῆ αὐτοῦ μεγάλου καὶ ἀποστολικὴν ἐκκλησίαν, ἵνα ἐαν τις τῆ συγκλήτου βουληθῇ μετὰ λόγου θελήματος, καὶ ἐυαρέσου γλώσσαν κλήσεως, καὶ ὡς τῷ ἀριθμῷ τῶν ἁγίων κλήσεων

σεως χειροτονεῖσθαι μήτε τολμᾷ ἀπὸ παίτων ἐμποδίζειν τούτῳ. ἐδιασαμεθα δὲ καὶ περὶ τούτοις ἵνα καὶ ὁ αὐτὸς θεοσεβὴς πατὴρ ἡμῶν Σίλβεστρος μέγας ἐπίσκοπος, καὶ πάντες οἱ ὀρθοδόξοι διάδοχοι αὐτοῦ, καὶ ἐπίσκοποι ἵνα φορῶσι τὸ διάδημα ἤτοι τὴν στέφανον, ὡς παρεδώκαμεν αὐτῷ ἐκ κεφαλῆς ἡμῶν ἐκ χρυσίου καθαροῦ, καὶ μαργαριταείων ἀπυήτων, καὶ ἵνα αὐτοὶ χρήσωνται εἰς τὰς κεφαλὰς αὐτῶν εἰς τὴν αἴνεσιν τοῦ θεοῦ, καὶ εἰς τιμὴν τοῦ ἁγίου καὶ κορυφαίου τοῦ ἀποστόλου. αὐτὸς ὁ μακάριος πάπας Σίλβεστρος ἔδωκε τὴν στέφανον ἤτοι τὴν παπαλίδραν ὡς εἶχε πρὸς δόξαν τοῦ θεοῦ καὶ τοῦ ἁγίου Πέτρου ὃν ἐβούλετο βασάζειν στέφανον ἐκ χρυσίου, ἢ μαργαριταείων, ἡμεῖς, διότι οὐκ ἐβούλετο ὁ ἅγιος Σίλβεστρος ἐκ χρυσίου στέφανον τὸν ἐστολισμένον λίθοις, σημαίνοντα τὴν ἁγίαν ἀνάστασιν τῇ ἁγίᾳ κεφαλῇ αὐτοῦ ἰδίαις χερσὶν ἐπεθήκαμεν, καὶ κρατοῦντες τοῦ χαλινοῦ τοῦ ἵππου αὐτοῦ διὰ τὴν προσκύνησιν, καὶ τὸν φόβον τοῦ ἁγίου Πέτρου ἐφάπτομεν ὀφφίκιον ἐποιήσαμεν, θεασάζοντες ἵνα πάντες οἱ διάδοχοι αὐτοῦ τῷ λαῷ χρήσονται εἰς τὰς προσελεύσεις πρὸς μίμησιν τῆς βασιλείας. διὰ τοῦτο ἵνα μὴ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς καταφρονῆται, ἀλλὰ πλέον παρὰ τὴν βασιλείαν ἡμῶν τὴν γῆν, καὶ κράτος δόξαν κομεῖται, ἰδοὺ τὸ παλάτιον ἡμῶν ὡς προείπομεν, καὶ τὴν Ῥωμαίων πόλιν, καὶ τὴν τῆς Ἰταλίας, ἢ δυτικῶν χωρῶν ἐπαρχίας τόπους, καὶ κάρτα τῷ προγεγραμμένῳ μακαριωτάτῳ ἐπισκόπῳ ἡμῶν, καὶ πάσῃ Συλβέστρῳ καθολικῷ πάσῃ παραδίδομεν καὶ ἀφήκαμεν αὐτῷ, καὶ τοῖς διαδόχοις αὐτοῦ ἄρχειν καὶ ῥυάμαι κράτος βασιλικοῦ προστάγματος διὰ τούτου θείαν κέλευσιν, καὶ προστατικὸν σύσημα ἐδιασάμεθα διαμένειν καὶ τοῖς αὐθεντίαν ἁγίας τοῦ ῥωμαίων ἐκκλησίας εἰς τὰ αἰῶνα παρεχωρήσαμεν. διὰ τοῦτο ἵνα κράτος βασιλείας ἡμῶν, καὶ τὸ κράτος τῆς βασιλείας εἰς τὰς ἀνατολικὰς χώρας μεταφέρειν, καὶ ἐν τῇ βυζαντίῳ χώρᾳ τόπῳ χρησίμῳ πόλιν ὀπὶ τῷ ὀνόματι ἡμῶν ἰδιωθῆναι, καὶ τίναι ἡμῶν βασιλείαν ἐκεῖ συσῆναι. διότι ὅπου ἐστὶν ἀρχιερατεία, καὶ ἡ κεφαλὴ τῆς χριστιανικῆς θρησκείας ἀπὸ τοῦ βασιλέως τοῦ οὐρανίου διδωθῆ, ἄδικον ἐστὶν ἵνα ἐκεῖ ὁ γήϊνος βασιλεὺς ἔχῃ ἐξουσίαν. τοῦτο δὲ τὸ ὕψος τῆς βασιλείας ἡμῶν ἰδίαις χερσὶ καταστρώσαντες εἰς τὰ ἅγια λείψανα τοῦ ἁγίου ἀποστόλου, καὶ κορυφαίου Πέτρου ἐθήκαμεν καὶ ἐκεῖ ὡμόσαμεν τοῦτα πάντα ἀπαρά θραυστα διαφυλάττειν, καὶ τοὺς διαδόχους ἡμῶν ταῦτα φυλάττειν παρεδώκαμεν τῷ παπεῖ ἡμῶν τῷ ἁγίῳ, καὶ καθολικῷ ἐπισκόπῳ, καὶ πάπᾳ, καὶ δι' αὐτῆς πᾶσι τοῖς διαδόχοις αὐτῆς ἐπισκόποις τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ προσευόντος παρὰ ἰδίαιν ὅλα τὰ προγεγραμμένα χαλῶς εἰς τὸ αἰῶνα διαφυλάττεσθαι. Σημείωσαι ὅτι ἀπὸ τοῦ παρόντος ἰδίκτου, ἤτοι βασιλικοῦ προστάγματος τοῦ ἁγίου μεγάλου Κωνσταντίνου δικαιοῦται ὁ πάπας Ῥώμης διὰ πάντων τῶν βασιλικῶν προνομίων μεγαλύνεσθαι αὐτὸν μόνον τοῦ στέμματος, διὰ γὰρ τοῦτο καὶ ὁ τοῖς ὁπουδήποτε γινομένοις προελεύσεσιν αὐτῆς, καὶ τοῖς θείαις αὐτῆς ἱερατελεσίαις διὰ βασιλικοῦ λόρου τῆς κεφαλῆς καταχαλύπτεται, ἀμφιέννυται ὃ καὶ ἀλλαντιακὸν ὀνομάζεται, καὶ καβαλικεύει μετὰ ἀλλαντιοῦ σελοχαλίνης, κρατῶν τὸν βασιλέως, τιμῶν ὃ καὶ τοὺς ὑπ' αὐτῆς διὰ ἀξιωμάτων βασιλικῶν. ὅπερ ὃ ἡ δευτέρα συνόδος δέδωκε τῷ ἀρχιεποσκόπῳ τῆς Κωνσταντινουπόλεως τὰ προνόμια πάντα τοῦ πάπα Ῥώμης, ἐπεχείρησαν τινες τῶν πατειαρχῶν ὡς ὁ Κύριλλος ἐκεῖνος κύριος Μιχαὴλ, καὶ ἕτεροι τοῖς αὐτοῖς ἀποσεμνύνεσθαι προνομίοις, ἐγένοντο ὃ αὐτοῖς εἰς καλὸν ἡ ἐγχείρησις. πεμάσθαι ὃ διὰ ἀξιωμάτων τὸν κλεικάριν τῆς Κωνσταντινουπόλεως κεκώλυται. πολλὰ καὶ τοῦτα κεκολοβωμένα εἰσίν. ὁ ὃ κτ' κωμὲς χαρτοφύλαξ ἀπὸ τοῦ παρόντος ἐδίκτου δικαιοῦται καβαλικεύειν κτ' τὸν λιτὸν τῶν ἁγίων νοτειείων τὸ πατειαρχικὸν ἄλογον μὲ ὑποδήκα λευκοῦ. ἔδωκε ὃ τῇ κεφαλῇ αὐτῆς ὡς καὶ δικαιεῖται πατειαρ-

χικοῦ σκέπεσθαι μετὰ χρυσῆς πάσας, ἥτις καὶ ἐν χαρτοφυλακίῳ ἀπόκειται. ἀλλὰ καὶ ὁ κτ' κωμὲς πατειάρχης Ἀλεξανδρείας ἀπὸ τοῦ παρόντος ἰδίκτου δικαιοῦται μὴ λώρῳ λιτουργεῖν, ἔλαβε γὰρ τὴν ἐξουσίαν ταύτην ὁ ἅγιος Κύριλλος Ἀλεξανδρείας ἀπὸ τοῦ πάπα Ῥώμης Κελεστίνου, ὅτε ἦν ἐν Ἐφέσῳ γέρων συνόδου κτ' Νεστορίου, τοῦ γὰρ Κελεστίνου μὴ δυναμένου παρεῖναι εἰς Ἔφεσον, καὶ κρίναι τὸν Νεστόριον, συνέδοξε σπαταπάλαι τὸν ἅγιον Κύριλλον ἀπὸ τοῦ Κελεστίνου θεοφορῆται τὸν συνόδου, αὐτ' αὐτοῦ. εἰς γοῦν παράκλησιν τοῦ ἔχειν αὐτὸν τὸ δίκαιον τοῦ πάπα Ῥώμης Κελεστίνου ἐκλύσῃ μὲ λώρον, καὶ κατεδίκασε τὸν Νεστόριον. ἐκ τότε οὖν μὲ τοῦ αὐτὸς λώρου ἐφορμῶσι, καὶ θεοσεβεύουσι καὶ πατειάρχαι Ἀλεξανδρείας καὶ αὐτάρκειαν ἔχ ἀπὸ πεύουσιν. αὐάγωσι τὸν περὶ τούτου σπουδὴν τοῦ ἁγίου Κελεστίνου καταφρονῆθῆναι ὅσον εἰς τὰ θεσκεπικὰ τὸν γ'. συνόδου.

κεφάλαιον β'.

Περὶ τοῦ μὴ ὡς ἔτυχε ἐπίσκοπον ἀποδημεῖν, ἢ κληρικὸν ἐν ἑτέρᾳ διάγειν ἐπαρχίᾳ, ἀποστόλων κανὼν ιθ'. ιε'. συνόδου Ἀγκύρας κανὼν ιη'. συνόδου Ἀντιοχείας κανὼν γ'. ιγ'. κβ'. συνόδου Λαοδικείας κανὼν μα'. μβ'. συνόδου Κωνσταντινουπόλεως κανὼν β'. συνόδου Χαλκηδόνος κανὼν ιγ'. κγ'. συνόδου Σαρδικῆς κανὼν γ'. ια'. ιβ'. ις'. ιζ'. συνόδου Καρθαγένης κανὼν κγ'. οα'. συνόδου ς'. κανὼν ιζ'. ιη'. κ'. συνόδου Νικαίας τὸ β'. κανὼν ι'. συνόδου α'. κβ'. ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανὼν ις'.

κείμενον.

Η' μβ'. Ἀφορ. ξ γ'. Ὑπ. ξ α'. Βιβλίῳ ξ κώδικος, φησὶν ὅτι ἐπίσκοπος ἐφ' οἱῳδήποτε πράγματι παρὰ κέλευσιν βασιλέως ἐν Κωνσταντινουπόλει μὴ γινέσθω, ἀλλὰ ἀποκαλπάσθω τελέτω. ὃ δὲ παραβαίνων ἀφορίζεται καὶ ἀναναστεῖται. ἡ δὲ α'. Ἀφορ. ξ α'. Ὑπ. τ' τεσσαρῶν φησι, μηδεὶς ἐπίσκοπος ἔξω τῆς ἑαυτοῦ ἐκκλησίας πλέον ἑνιαυτὸν ἀποδημησάτω, εἰ μὴ κατὰ βασιλικὴν κέλευσιν, τῶν πατριαρχῶν ἀναγκαζόντων αὐτὸν τῇ αὐτοῦ ἐκκλησίᾳ προσκρούειν. εἰ δὲ παρὰ κέλευσιν βασιλικὴν πέρας δὲ ἑνιαυτὸν ἀποδημήσῃ ὁ τῆς πλείστης πατριάρχης αὐτὸν καλείτω τοῖς νενομισμένοις κηρύγμασι, φυλάττων τὴν τῶν ἱερῶν κανόνων παρατήρησιν. εἰ δὲ μένει ἀπειλῶν ἐξωθείτω αὐτὸν τῆς ἐπισκοπῆς, καὶ ἕτερον ποιείτω. εἰ δὲ μητροπολίτης ἀλλ' ἕτερος ἐπίσκοπός ἐστιν ὁ ἀποδημῶν, ὁ μητροπολίτης ἐπ' αὐτῷ ποιείτω τὰ εἰρημένα. εἰ δὲ προφασίζοιτο δίκης ἕνεκεν ἰδικῆς, ἢ ἐκκλησιαστικῆς ὀφείλειν ἀποδημεῖν, δεήσῃς τῇ βασιλείᾳ Ἀφ' οἰκονόμων, ἢ κληρικῶν ἢ ἀποκρισιαρίων πεμπέτωσαν, τυγχάνει ὑπὸ τῶν ἐκκλησιαστικῶν τῶν ζητουμένων. μὴ αὐξέτω δὲ ἐπίσκοπος ἐν Βυζαντίῳ, πρὶν αὐ κτ' οὗ κανόνας ἓξ οἰκείᾳ μητροπολίτᾳ λάβῃ γράμματα τὰ καλούμενα συστατικὰ πρὸς τὴν βασίλειαν μαρτυροῦντα τὴν ἀναγκαίαν τῆς

ἀποδημίας. ὁ δὲ μητροπολίτης ἀποδημῶν, τὰ πατριαρχικὰ λαμβανέτω γράμματα, καὶ μὴ δι' ἑαυτοῦ μιμείσθωσαν πρὸς τὸν βασιλέα, ἀλλὰ τῷ πατριάρχῃ καὶ τοῖς ἀπελευσομένοις τῆς αὐτοῦ διοικήσεως καινὰ θαυμάσιον, καὶ αὐτοῖς σημαινέτωσαν. ἔξεστι δὲ αὐτοῖς, καὶ διὰ τὸ ῥαιφερενδαρίου τῆς μεγάλης ἐκκλησίας, ἢ διὰ τὸ ἀπελευσομένου τὸ πατριαρχῶν αὐτοῦ, ἀναφέρειν τῷ βασιλεῖ. ἢ ὃ ζ'. διάτ. τοῦ αὐτοῦ α'. πίτ. τῶν νεαρῶν, φησὶν ὅτι ἐὰν ἐπίσκοπος χρέος γραμμάτων τοῦ πατριάρχου αὐτοῦ ἀνίων ἐν Κωνσταντινουπόλει, ἀλλ' ἕτερον ἑαυτὸν ποιεῖ τοῦ χρήματος. ἢ ὃ β'. διάτ. τοῦ αὐτοῦ α'. πίτ. τῶν νεαρῶν, φησὶν ὅτι μὴ χρείας ἀναγκαίας ἐκδημεῖτωσαν οἱ ἐπίσκοποι χωρὶς γραμμάτων λαμβανέτωσαν τῶν πατριαρχῶν αὐτῶν, ἢ μητροπολιτῶν ἢ κτ' βασιλικῷ κέλευσιν ἀποδημείτωσαν. καὶ οἱ ὑπὸ τὸ Κωνσταντινουπόλεως πατριάρχου χωρὶς ἐπιστροπῆς αὐτοῦ μὴ αὐτώσαν, καὶ ὁ ἔτως ἀποδημῶν, μὴ πωλείσθω συναυτοῦ τῷ ἰδίαν ἐκκλησίαν ἑάτω. ὃ δὲ παραγινόμενος ἐν Κωνσταντινουπόλει διοζοῦποτε ἐπίσκοπος, εἰσίτω πρὸς τὸν πατριάρχου, καὶ δι' αὐτοῦ πρὸς τὸν βασιλέα. τῆς δὲ παρὰ ταῦτα καὶ ὑπερτιμήσεως τὸν χρόνον ἀποδημοῦσιν, οἱ οἰκονόμοι δαπάνας μὴ χωρηγείτωσαν. καὶ προσεπέτωσαν αὐτοῦ οἱ ἱερεῖς ὑφ' οὓς τελοῦσι διὰ γραμμάτων ὑποστρέφειν, καὶ ὑπερπιμένοντας πρὸς αὐτοῦ ἀγῶνας καλείτωσαν, καὶ μὴ ὑποστρέφοντας. εἴζω δὲ ὡρισμένης χρόνου ἐκβαλλέτωσαν, καὶ ἄλλους χειροτονείτωσαν. τὰ αὐτὰ καὶ περὶ κληρικῶν οἰασδήποτε βαθμοῦ κρατεῖ. ἢ ὃ ιβ'. διάτ. τοῦ αὐτοῦ α'. πίτ. τῶν νεαρῶν παρακελεύεται ἵνα ἐάν τινος ἐκκλησίας ἀποστῶσι κληρικοὶ, ἕτεροι αὐτὴν καθισάμενοι τὰς αὐτῶν σιτήσεις λαμβάνωσι, καὶ μηδὲ ὑποστρέφοντας αὐτοὺς λαμβάνειν αὐτὰς, καὶ μὴ κερδαίνειν αὐτὰς δοῦ χορηγοῦντας. εἰ δὲ στερήσεις, κτῆσις αὐτῶν ῥητὴ τοῖς πιθάτοις ἀφορίζεται, ὥστε τὴν χορηγίαν τ' σιτήσεως ἐκεῖθεν γίνεσθαι.

σχόλιον.

Ἡ μβ'. διάτ. τοῦ γ'. πίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος ἐκτέθη εἰς τὸ βασιλικὸν. ὃ δὲ ἡ α'. διάτ. τοῦ α'. πίτ. τῶν νεαρῶν ὅσα ἰουστινιανός ξζ'. ἡ γ'. διάτ. τοῦ αὐτοῦ πίτ. ἔστι νεαρὰ ἰουστινιανέιος ὡς'. κειμένη ἐν βιβλίῳ ς'. τῶν βασιλικῶν πίτ. κβ'. περὶ τοῦ τέλος ἔτως ἔχοντα, ὅστε ἡ μοναχὸν, ὅστε κληρικὸν, ὅστε ἐπίσκοπον κελεύομεν ἔρχεσθαι ἐντεῦθα ἄνευ τοῦ ὁζιωτάτου αὐτῶν πατριάρχου, καὶ εἰ δέτοσαν ὡς ἀναξίους ἑαυτοὺς τοῦ ὀνόματος ποιήσουσι. καὶ σημείωσαι ὅτι τὸ μὲ πλάτος τῶν νεαρῶν μόνου ἐπισκόπου ἐμνήσθη, τὰ δὲ βασιλικὰ ὅστε ἐπίσκοπον, ὅστε κληρικὸν παραχωρεῖσι εἰς Κωνσταντινούπολιν ἐπιδημεῖν ἄνευ γνώμης τοῦ πατριάρχου.

τῆ β'. διάτ. τοῦ α'. πίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιανοῦ ρκγ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν πίτ. α'. κεφ. ιή'. καὶ ιθ'. ἃ καὶ ἔχουσιν ὅτως καθὼς σωφρόνισθησαν. τὸ δὲ πρέσβος μᾶλλον τῷ ις'. κανόνι τ' ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων α'. καὶ β'. συνόδου. διάρθρου γενομένου τῆς ἀποδημίας χρόνου. ἡ ιβ'. διάτ. τοῦ α'. πίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιανοῦ ρλ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν πίτ. δ'. καὶ ὅτω σχεδὸν περὶ λήψεως ἔχουσα, ὡς εἰς τὸ κείμενον ἐδηλώθη. ἀναγνωσθήτω καὶ τὸ ἀκριβοτάτου ἐκείνου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Νικολάου, σημειώσεως, τῷ γεγονυῖαν κ' τῷ ἐν. τοῦ Μαρτίου μηνὸς τῆς γ'. ἰνδικτίονος, καὶ ὑποτυπώσεως ποσοῦ χρεὼν ὀφείλειν ἀπολιμπάνειν ἀποχρηματίσεως οἱ μεγάλης ἐκκλησίας ἱερεῖς τε καὶ διάκονοι. λέγουσι δέ τινες ἐκ ταύτης μὴ αἱρεῖσθαι τὸν περὶ τῶν ἀποδήμων κλητικῶν κανόνα, μηδὲ τῷ ἀνωθεν κατασταθεῖσαν ἰουστινιάνειον νεαρᾶν. σημείωσαι ὅτι ἀπὸ τ' ἐν τῷ παρόντι κεφ. καταστρωθέντων δύο ἰουστινιανείων νεαρῶν, ἤγουν τ' ος'. καὶ τ' ρκγ'. δύο ταῦτα ὀνομοθέτησαν. ἐν μὲν τὸ μὴ ἐνδημεῖν εἰς τ' τῶν πόλεων βασιλεύουσαν ἀρχιερεῖς, ἢ μοναχοὺς, ἢ κληρικοὺς ἄνευ γραμμάτων τοῦ πατριάρχου αὐτῶν, ἕτερον δὲ τὸ μὴ διατρίβειν ἀρχιερέα ὅτι πολὺ ἐν Κωνσταντινουπόλει. ἐπεὶ δὲ καὶ ἄμφω βλέπομεν ἀθετούμενα, ὅτε γὰρ οἱ ἀρχιερεῖς διὰ γραμμάτων πατριαρχικῶν εἰς τὴν βασιλεύουσαν ἐνδημοῦσι, ἀλλ' οἰκειοθελῶς εἰς τ' δύσιν τ' Κωνσταντινουπόλεως ἐρχόμενοι διατρίβουσιν ἐν αὐτῇ πατριάρχῃ, καὶ ὅτω τ' μεγαλοπόλεως ἀκινδύνως ὑπερβαίνουσι, καὶ ὅτι πολὺν ὁ χρόνον ἐν αὐτῇ διατρίβοντες ἐνδημίαν κέκτηνται ὑποψίαν, ζητητέον πῶς τοῦτο γίνεται. οἶμαι δὲν ὡς ἡ μὲ ος'. νεαρὰ ἡ δοκιζομένη καθαιρεῖσθαι τὸν ὑπισκόπους, κλητικούς τε καὶ μοναχοὺς παρὰ γνώμην τοῦ πατριάρχου αὐτῶν συνταῦθα ὑπεδημοῦντας, ἀνηρέθη διὰ τ' ρκγ'. ἰουστινιανείᾳ νεαρᾶς μεταγενεστέρας ὔσης, καὶ δοκιζομένης μὴ χορηγεῖσθαι δαπάνας τοῖς τοῦτό τι ποιοῦσιν ὑπισκόποις ἀπὸ τῶν ἐκκλησιῶν αὐτῶν, καὶ εἰς τοῦτο μόνον περικλείσης τ' τιμωρίαν. τὸ δὲ καθαιρεῖσθαι τὸν ἐπέκεινα χρόνου κ' τῷ τοιαύτῳ ρκγ'. νεαρᾷ, ἢ ἐπέκεινα α' ἑξαμήνου κ' τ' ις'. κανόνα τ' ἐν τῷ ναῷ τ' ἁγίων ἀποστόλων συνόδου α'. καὶ β'. συνόδου, διατρίβοντας ὑπισκόπους εἰς Κωνσταντινούπολιν χωρὶς ἐυλόγου αἰτίας, ἀνηρέθη διὰ προτάξεως τ' ἁγιωτάτου βασιλέως κυροῦ Μανουὴλ τ' κομνηνοῦ, ἀποκλυσθείσης κ' μιᾶς Σεπτεμβρίου ἰνδικτίονος ζ'. καὶ δοκιζομένης ταῦτα ῥητῶς, ταῦτα τοίνυν εὐαλογημένη ἡ βασιλεία μου προτροπὴν τ' παρ' ὅσων ἐλθεῖν οἰκονομίαν ἰωάννηδη καὶ ἄκυρα, καὶ διατηρεῖ διὰ τὸ παρόντος ταύτης προστάγματος μὴ πλείονα τὸ πυρὰ τε τῶν φιλευσεβῶν νόμων, καὶ τ' θείων κανόνων ὑφαπλωθέντος κράτος τοῖς ἱεροωτάτοις ὑφηγεῖσθαι ἐνδιατρίβειν ἐν χρεία τινὸς ἀπαραιτήτου ἐμποδισμοῦ ἐν τῇ μεγαλοπόλει, καὶ προφανοῦς εὐλόγου προφάσεως, ἢ μὲ καὶ ἄκοντες τ' μεγαλοπόλεως ἐκβληθήσονται. ἢ μὴ τοιγε ἐν τῇ μεγαλοπόλει εἰσέλευσις αὐτῶν ὀφείλει γίνεσθαι κ' τ' ἔκπαλαι κανονικῶς, καὶ νομικῶς κρατήσασαν συνήθειαν.

κεφάλαιον γ'.

Περὶ δὲ χρῆναι δοῦ ἐπισκόπους τὰς αἰτίας τ' ὁδοιπορίας τῶν δι' αὐτ' παρελόντων ἐπισκόπων πολυπραγμονεῖν, συνόδου Σαρδικῆς κανὼν κά'.

κεφάλαιον δ'.

Περὶ ἐπισκόπων, καὶ κληρικῶν ἀπόντων πρὸς βασιλέα, ἢ δοῦ πρὸς αὐτὸν, συνόδου Ἀντιοχείας κανὼν ια'. ιβ'. συνόδου Σαρδικῆς κανὼν ζ'. ἡ. θ'. κά'. συνόδου Καρθαγένης κανὼν ρδ'. ρς'.

κεφάλαιον ε'.

Περὶ ὑποδοχῆς ξένων, καὶ περὶ εἰρηνικῶν καὶ συστατικῶν ἐπιστολῶν, ἀποστόλων κανὼν ιβ'. λγ'. συνόδου Ἀντιοχείας κανὼν ζ'. η'. ια'. συνόδου Λαοδικείας κανὼν μα'. μβ'. συνόδου Χαλκηδόνος κανὼν ιγ'. συνόδου Σαρδικῆς κανὼν θ'. συνόδου Καρθαγένης κανὼν κς'. συνόδου ς'. κανὼν ιζ'.

κεφάλαιον ς'.

Περὶ διαφορᾶς εἰρηνικῶν, καὶ συστατικῶν ἐπιστολῶν, συνόδου Χαλκηδόνος κανὼν ια'. συνόδου Καρθαγένης κανὼν ρς'.

κεφάλαιον ζ'.

Τίσι δεῖ τοῦ ἐπισκόπους βοηθεῖν, καὶ περὶ ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων μὴ χορηγούντων τοῖς ἐνδεέσιν ἐκκλησιαστικοῖς, ἀποστόλων κανὼν νθ'. συνόδου Σαρδικῆς κανὼν ζ'.

κείμενον.

Οἱ πενόμενοι αἱρετικοὶ οὐ λαμβάνουσι τὰ λεγόμενα ἀξιωματικὰ ἀπὸ τῶν δικαστηρίων. ἢ τῶν ἐκκλησιῶν, ὡς βιβλίον α'. τίτ. ε'. διάτ. η'.

σχόλιον.

Ἡ η'. διάτ. τοῦ ε'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος, ἔστι κεφ. κη'. τοῦ α'. τίτ. τοῦ α'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ὡς συνωψίσθη εἰς τὸ κείμενον.

κεφάλαιον η'.

Περὶ συνόδων, καὶ τῶν εἰς αὐτὰς μὴ ἀπιόντων, Ἀποστόλων κανὼν λζ'. συνόδου Νικαίας κανὼν ε'. συνόδου Ἀντιοχείας κανὼν. η'. συνόδου Λαοδικείας κανὼν μ'. συνόδου Χαλκηδόνος κανὼν ιθ'. κα'. συνόδου Καρθαγένης κανὼν ιη'. ογ'. ος'. ϛε'. συνόδου ς'. κανὼν η'. συνόδου Νικαίας τὸ β'. κανὼν ς'.

κείμενον.

Ἡ β'. καὶ ιζ'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν βούλονται, ἅπαξ ἢ δὶς τοῦ ἔτους τῷ ἰουνίῳ, ἢ τῷ σεπτεμβρίῳ γίνεσθαι συνόδους τῶν μητροπολιτῶν παρὰ τοῖς πατριάρχαις, καὶ τῶν ἐπισκόπων παρὰ τοῖς μητροπολίταις, καὶ ἐξετάζεσθαι τὰς αἰτίας, ἃς οἱ ἐπίσκοποι, καὶ οἱ κληρικοὶ καὶ οἱ μοναχοὶ πρὸς ἀλλήλους ἔχουσι περί τε πίστεως, καὶ κανόνων, καὶ πραγμάτων ἐκκλησιαστικῶν, καὶ ἄλλων, καὶ τὰ παρὰ τοῦ κανόνας ἁμαρτανόμενα διορθοῦσθαι. οἱ δὲ ἄρχοντες. καὶ αἱ τάξεις αὐτῶν μὴ ἐπιτιθέμενοι τοῖς μητροπολίταις, καὶ ἐπισκόποις ὑπερτιθεμένοις ποιεῖν τὰς συνόδους, ἢ μὴ μηνύοντες τῇ βασιλείᾳ, ἐσχάτως τιμωροῦνται.

σχόλιον.

Ἡ β'. καὶ ιζ'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, εἰσὶ τοῦ μ ρκγ'. νεαρᾶς κεφ. ιγ'. τοῦ δ ρλδ'. κεφ. ζ'. κατεστρώθησαν δὲ ἄμφω ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ. α'. κεφ. κ'. καὶ κα'. ἃ καὶ

ἀνάγνωθι ἐκεῖ. ἐνταῦθα γὰρ οὐ κατεστρώθησαν ὡς μὴ ἐνεργοῦντα.

κεφάλαιον θ'.

Περὶ τοῦ μὴ ὡς ἔτυχεν ἐπίσκοπον ἢ κληρικὸν ἐμμαγκιπατεύειν, συνόδου Καρθαγένης κανὼν λε'.

κεφάλαιον ι'.

Πῶς ἐκδικοῦσιν οἱ ἐπίσκοποι τοῦ ἁρμόζοντας αὐτοῖς τόπους παρὰ αἱρετικῶν κατεχομένους, συνόδου Καρθαγένης κανὼν ρκα'.

κείμενον.

Ἡ λζ'. νεαρῶν, φησὶ τὰς ἐκκλησίας τῆς Ἀφρικῆς ἀσφαλῶς ἔχειν τὰς κτήσεις αὐτῶν, καὶ ἐὰν ἔλλιπες ἢ αἱρετικοὶ ἔχωσίν τινας αὐτῶν ἢ οἴκους ἢ σκεύη, ἀφαιρεῖσθαι αὐτὰ, μὴ ἀντικειμένης αὐταῖς χρονίας παραγραφῆς.

σχόλιον.

Ἡ λζ'. νεαρὰ ἐτέθη εἰς τὰ βασιλικά. τοῦτο δὲ αὐτῆς τὸ κεφ. οὐκ ἐτέθη, καὶ μὴ ματαιοπονήσῃς.

κεφάλαιον ια'.

Περὶ τοῦ μὴ ὀφείλειν τοῦ ἀναγνώστας τῷ δήμῳ προσκυνεῖν, συνόδου Καρθαγένης κανὼν ις'.

κεφάλαιον ιβ'.

Περὶ ἐπισκόπων μὴ ἐπιστρεφόντων τοῦ αἱρετικοὺς, καὶ περὶ ἐπισκόπων, καὶ κληρικῶν, μὴ διδασκόντων τὸν λαὸν, καὶ ὅτι ἐπίσκοπος ὑπὲρ τοῦ λαοῦ ἀπολογεῖται τῷ Θεῷ, καὶ πότε τοῦ λαοῦ ἁμαρτήσαντος ὁ κλῆρος ἀφορίζεται, ἀποστόλων κανὼν λς'. λθ'. νη'. συνόδου Καρθαγένης κανὼν ρκγ'. συνόδου ς'. κανὼν ιθ'. ξδ'.

κεφάλαιον ιγ'.

Περὶ ἐπισκόπων καὶ κληρικῶν κοσμικόν τι πραττόντων δημόσιον, ἢ ἰδιωτικὸν, ἢ μίσθωσιν, ἢ ἐπιτροπὴν, ἀποστόλων κανὼν ς'. πα'. συνόδου Χαλκηδόνος κανὼν γ'. συνόδου Καρθαγένης κανὼν ις'. συνόδου Νικαίας τὸ β'. κανὼν ι'. συνόδου α'. καὶ β'. ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανὼν ια'.

κείμενον.

Ἡ ιζ'. διατ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος, κωλύει τοῦ κληρικοὺς πάροδον ἔχειν εἰς τὰς δημοσίας πράξεις, ἢ τὰς ἁρμοζούσας ταῖς βουλαῖς. καὶ ἡ μ'. τοῦ αὐτοῦ τίτ. διάτ. ἀπαγορεύει τοῖς ἐκκλησιεκδίκοις, ἐμφανίζειν τελευταίας βουλήσεις, ποινὴν ἐκπαραβασίας ὁρίζουσα ν'. λιτρῶν. καὶ ἡ να'. τοῦ αὐτοῦ τίτ. φησὶν ὅτι οἱ ἐπίσκοποι, καὶ πρεσβύτεροι, καὶ διάκονοι καὶ ὑποδιάκονοι καὶ μοναχοὶ, κἂν μὴ ἔχωσι χειροτονίαν, ἀλειτουργησίαν ἔχουσι πάσης ἐπιτροπῆς καὶ κουρατωρείας, σχολάζοντες μέντοι ταῖς ἐκκλησίαις

καὶ τοῖς μοναστηρίοις αὐτῶν, καὶ μὴ ἀμελοῦντες τῆς θείας λειτουργίας.

χόλιον.

Ἡ ιζ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. οὐδὲ ἡ μ'. οὐδὲ ἡ να'. καὶ μάτην μὴ κοπία.

κείμενον.

Ἡ δὲ β'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, φησὶ ὅτι ἐπίσκοπος ἢ μοναχὸς οὐ γίνεται κηδεμὼν, οἱ δὲ ἄλλοι κληρικοὶ τῶν ἰδίων συγγενῶν κηδεμονεύουσι. ἐὰν εἴσω δ'. μηνῶν παρὰ τῷ ἁρμοδίῳ δικαστῇ, οἰκείᾳ προαιρέσει καταδέξωνται, καὶ οὐ προκριματίζονται περὶ ἄλλην κηδεμονίαν, οὔτε δὲ δημοσίων ἐκλήπτορες, ἢ τελῶν, ἢ κτήσεων ἀλλοτρίων, ἢ κουρατωρείας οἴκου, ἢ ἐντολεῖς δίκης, ἢ ἐγγυηταὶ ὑπὲρ τῶν τοιούτων αἰτιῶν, ἐπίσκοποι ἢ οἰκονόμοι, ἢ ἄλλος κληρικὸς γίνεται ὀνόματι ἰδίῳ, ἢ τῆς ἐκκλησίας, ἢ τοῦ μοναστηρίου αὐτοῦ. τὰς δὲ παρακειμένας κτήσεις τοῖς αὐτοῖς εὐαγίσιν οἴκοις δύνανται μισθοῦσθαι, καὶ ἐμφυτεύεσθαι πάντων τῶν κληρικῶν καὶ μοναχῶν ἐν συμβόλῳ ἢ ἐπιπράσει συναινούντων καὶ φανερούντων συμφέρειν τὸ γινόμενον. καὶ αὐτοὶ δὲ οἱ σεπτοὶ οἴκοι τοῖς κληρικοῖς αὐτῶν μισθοῦσι καὶ ἐμφυτεύουσι, χωρὶς τῶν δι' ἑτέρου νόμου κωλυθέντων προσώπων. καὶ αὐτοὶ παρὰ τῶν κληρικῶν ἐκλαμβάνουσιν. ὁ δὲ παρὰ ταῦτα ποιῶν, εἴμεν ἐπίσκοπός ἐστι, τὰ πράγματα αὐτοῦ πάντα τῇ ἐκκλησίᾳ αὐτοῦ προσκυροῦνται. εἰ δὲ οἰκονόμος, ἢ ἄλλως κληρικὸς ποινὴν δίδωσι χρηματικὴν τὴν νομιζομένην τῷ ἐπισκόπῳ αὐτοῦ. οἱ δὲ πιστεύσαντες αὐτοῖς τὰς διοικήσεις, ἢ λαβόντες αὐτοῦ ἐγγυητὰς, οὐκ ἔχουσιν ἀγωγὴν κατ' αὐτῶν ἢ πραγμάτων ἢ ἐγγυητῶν ἢ ἐκκλησιῶν, ἢ μοναστηρίων, ἀλλὰ καὶ τὴν συμβαίνουσαν τῷ δημοσίῳ βλαβὴν, οἴκοθεν ἀποθεραπεύουσι.

χόλιον.

Ἡ β'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ. α'. κεφ. ιγ'. ιδ'. ιε'. ἔχουσι δὲ ταῦτα καθὼς συνωψίσθησαν. ζήτει ἀναγκαίως, καὶ τὴν κτ' τῶν η'. τοῦ δεκεμβρίου μηνὸς τῆς ς'. ἰνδικτιόνος γενομένην συνοδικὴν σημείωσιν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Λουκᾶ χάριν τῶν ἐνεργούντων κληρικῶν δημοσιακὰς δουλείας καὶ προσωπικὰς, καὶ καταστρωθεῖσαν ἐν τῷ ιε'. κανόνι τῆς ἐν Καρθαγένῃ συνόδου. ἐπὶ τῆς πατριαρχείας δὲ τοῦ μακαρίτου κυρίου Ἰωάννου κτ' μῆνα φευρουάριον ἰνδικτιόνος η'. γέγονε σημείωμα συνοδικὸν διοριζόμενον μὴ συνηγορεῖν διακόνους, ἢ ἁπλῶς ἐκκλησιαστικοὺς, ἢ μοναχοὺς, ὃ καὶ ἀνάγνωσθι καταστρωθὲν ἐν τῷ ιε'. κανόνι τῆς ἐν Καρθαγένῃ συνόδου. κτ' δὲ τὴν ἰανουάριον μῆνα τῆς δ'. ἰνδικτιόνος, πατριαρχεύοντος τοῦ μακαρίτου πατριάρχου κυρίου Μιχαὴλ τοῦ Ἀγχιάλου γέγονε σημείωμα συνοδικὸν διαλαμβάνον παρ' ὁμοίου τῷ ἱερεῖ, καὶ τῷ διακόνῳ, καὶ τὴν ἀναγνώστην, καὶ πάντα ἱερώμενον ἀπέχεσθαι τῆς ἐνεργείας τῶν κοσμικῶν ὀφφικίων, καὶ τῶν δουλειῶν. οὗ δὴ σημειώματος ἡ δύναμις κατεστρώθη ἐν τῷ αὐτῷ κανόνι. ἡ μέντοι ξη'. νεαρὰ τοῦ κυρίου βασιλέως Λέοντος τοῦ φιλοσόφου παρακελεύεται μὴ ἀναδέχεσθαι ἐπιτροπὰς,

ἢ κουρατωρίας ὀρφανῶν κληρικοὺς ἢ μοναχοὺς, ἐπιτρόπους δὲ γίνεσθαι καὶ διοικητὰς ἐπὶ τελευταίων βουλημάτων παραχωρεῖ, καὶ μᾶλλον εἴπερ ψυχικαὶ διαδόσεις ὀφείλουσι παρὰ τούτων προραίνειν. καὶ σημείωσαι τοῦτο, οὐδὲ γὰρ εὑρήσῃς ἀλλαχοῦ κειμένην τὴν τοιαύτην διάτ. ἀλλὰ καὶ ἡ πς'. νεαρὰ τοῦ αὐτοῦ βασιλέως θεσπίζει μήτε ἐπίσκοπον, μήτε τίνα κληρικὸν συνηγορίαις, ἢ μισθώσεσιν, ἢ ἐγγύαις ἐνασχολεῖσθαι. τὴν δὲ τοιοῦτόν τι ποιοῦντα ἐπὶ χρόνον μέντινα ἀφορίζεσθαι, ἐπιμένοντα δὲ καθαιρεῖσθαι, καὶ ταῦτα μὲν οὕτως. διάκονος δέ τις κωλυθείς ποτε παρὰ τοῦ μακαρίτου πατριάρχου Κυρίλλου Λουκᾶ τοῦ συνηγορεῖν χρωμένου τοῖς διαληφθεῖσι κανόσι, καὶ λοιπαῖς νομοθεσίαις, εἶπεν ἐπὶ βασιλικοῦ βήματος, παρόντος καὶ τοῦ πατριάρχου μὴ ἔχειν χώραν τὰ τῶν τοιούτων κανόνων καὶ νόμων εἰς τοὺς σήμερον συνηγορούντας, ἀλλ' εἰς τοὺς τότε συνηγόρους τοὺς τεταγμένους εἰς πολιτικὰ δικαστήρια, καὶ λαμβάνοντας βασιλικὰ σιτηρέσια, καὶ ὑπὸ πριμμικηρίους ὄντας, καὶ σφραγιζομένους ὑπὸ κοσμικῶν ἀρχόντων ὅτε πάντως καλῶς οἱ κληρικοὶ ἐκωλύοντο συνηγόρων ὀφφίκια κοσμικὰ ἐνεργεῖν. ἐπεὶ δὲ οἱ σήμερον συνηγορούντες ὡς ἐλευθέριόν τι σπούδασμα τὸ συνηγορεῖν μετέρχονται, οὐδὲ οἱ ἱερώμενοι ἐμποδιστήσονται συνηγορεῖν, καὶ κατασκευάζων τὴν οἰκεῖον λόγον ἐδικαιολογήσατο μὴ τὴν πρᾶξιν, ἀλλὰ τὴν τρόπον κολάζεσθαι παρὰ τῶν κανόνων. οὐ μόνοι γὰρ κληρικοὶ, ἀλλὰ καὶ ἐπίσκοποι ὑπὲρ φίλων αὐτοπροιούμενοι συγγνωστήσονται, καὶ ὑπὲρ ἐκκλησιαστικῆς ὑποθέσεως συνηγορούντες οὐκ αἰσχυνθήσονται, ὡς καὶ αὐτὰ τὰ νόμιμα τοῦτο διατρανοῦσι. τὸ δὲ συνηγορῆσαι κληρικὸν ὡς οἱ κοσμικοὶ ὀφφικιάλιοι, καὶ δέξασθαι σφραγίδα λαικοῦ, μισεῖται καὶ κολάζεται. ὅτι δὲ τὸ συνηγορεῖν ὀφφίκιον ἦν ποτε κοσμικὸν, καὶ σιτηρέσια ἐλάμβανον δημοσιακὰ οἱ τεταγμένοι συνήγοροι, καὶ ὑπὸ πριμμικήριον ἦσαν δῆλόν ἐστιν ἀπὸ πολλῶν. καὶ ἀνάγνωσθι τὰ τελευταῖα κεφ. τοῦ α'. τίτ. τοῦ η'. βιβλίου τῶν βασιλικῶν, καὶ τὰ. ἐν τῷ βιβλίῳ τοῦ ἐπάρχου περὶ συνηγόρων ἀνατατόμενα, διαλαμβάνουσι γὰρ τοὺς συνηγόρους σύστημα εἶναι, καὶ ὑπὸ τοῦ κτ' καιροὺς ἐπάρχου σφραγίζεσθαι. ταῦτα εἰπὼν καὶ παραδεχθεὶς ἐξεχωρήθη καὶ παρὰ τοῦ πατριάρχου συνηγορεῖν ὡς καὶ πρότερον.

κεφάλαιον ιδ'.

Περὶ ἐπισκόπων, καὶ κληρικῶν συνόντων γυναιξὶ συνεισάκτοις, συνόδου Νικαίας κανὼν γ'. συνόδου ς'. κανὼν ε'. συνόδου Νικαίας τὸ β'. κανὼν ιη'. Βασιλείου ἐκ τῆς πρὸς Γρηγόριον ἐπιστολῆς.

κείμενον.

Ἡ ιθ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. ιβ'. τοῦ κώδικος φησὶν, ὅτι οἱ ἱερεῖς καὶ οἱ κληρικοὶ μόναις συνοικείτωσαν μητρᾶσιν αὐτῶν, καὶ θυγατρᾶσιν, καὶ ἀδελφαῖς, καὶ ταῖς πρὸ τούτου γαμηθείσαις αὐτοῖς καὶ ἡ α'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν λέγει, μὴ ἐχέτωσαν αἱ διακόνισσαι συνόντας αὐταῖς τινας ἐν τάξει δῆθεν ἀδελφῶν, ἢ συγγενῶν, ἢ τῶν καλουμένων ἀγαπητῶν, ἀλλὰ καθ' ἑαυτὰς οἰκείτωσαν ἢ τοῖς ἀληθέσιν αὐτῶν ἀδελφοῖς, ἢ θείοις, ἢ γονεῦσιν, ἢ παισίν. εἰ δὲ λέγοιτο συνεῖναι ἐσχηματισμένῃ ἀγαθῇ προσηγορίᾳ, πονηρᾷ δὲ ὑποψίᾳ μὴ χειροτονείσθω, καὶ χειροτονηθεῖσα τοῦ σχήματος ἐκπιπτέτω, ὑπεύθυνος οὖσα σὺν αὐτῷ καὶ τούτω τῷ νόμῳ καὶ τοῖς λοι-

ποῖς τοῖς τοῦ φθορέας κολάζουσιν ἡ δ' β'. διάτ. τοῦ αὐτοῦ α'. τίτ. τῶν νεαρῶν λέγει, μηδεὶς κληρικὸς γυναῖκα μὴ ἔχων, ἐπείσακτον ἐχέτω ἐν τῷ οἴκῳ αὐτοῦ πλὴν μητρὸς καὶ ἀδελφῆς καὶ θυγατρὸς καὶ τῶν ἄλλων αἰυπόπτων. εἰ δὲ μὴ ταῦτα παραφυλάττοι, καὶ δὶς ὑπομνησθεὶς ὑπὸ τοῦ ἐπισκόπου ἢ τῶν συγκληρικῶν μὴ ἐκβάλλῃ αὐτὴν, ἢ κατηγορηθεὶς ἀποδειχθῇ συναναστρεφόμενος ἀσέμνως αὐτὸς, καθαιρείσθω, καὶ διδόσθω τῇ βουλῇ τῆς πόλεως ἧς ἦν κληρικὸς, ἐπίσκοπος δὲ καθόλου γυναικὶ συνοικῶν, καθαιρεῖται. οὔτε δὲ διακονίσσα, συνοικεῖν δύναταί τινι δυναμένῳ σχεῖν ὑποψίαν ἄσεμνον, ὑποιμνησκομένη δὲ παρὰ τοῦ ἐπισκόπου ἐὰν αὐτὸν ἐκβαλεῖν ὑπερτίθηται, στερεῖται τῆς ὑπηρέσιας, καὶ τῶν διαρίων, καὶ ἐμβάλλεται εἰς μοναστήριον ὅλην τὴν ζωὴν αὐτοῦ, καὶ τὰ πράγματα αὐτοῦ, εἰ μὲν ἔχει παῖδας ἀναλόγως εἰς αὐτὴν καὶ αὐτοῦ μερίζονται, καὶ τὸ ἁρμόζον αὐτῇ μέρος τὸ μοναστήριον ὑπὲρ ἀποτροφῆς αὐτῆς λαμβάνει, εἰ δὲ μὴ ἔχει παῖδας ἡ ἐκκλησία ἐν ᾗ ἦν καὶ τὸ μοναστήριον ἐξ ἴσης αὐτὰ μερίζονται.

σχόλιον.

Ἡ ιθ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. ἀλλ' οὐδὲ ἡ α'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν. ἡ δὲ β'. διάτ. τοῦ αὐτοῦ τίτ. ἔστι νεαρὰ ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ γ'. τίτ. α'. κεφ. νδ'. νε'. νς'. ἅ τινα κεφ. οὕτως ἔχουσιν ὡς συνωψίσθησαν.

κεφάλαιον ιε'.

Πῶς δεῖ ἐπισκόπους ἢ κληρικοὺς ἢ ἐγκρατευομένους, εἰσιέναι πρὸς γυναῖκας, συνόδου Καρθαγένης κανὼν λη'. συνόδου Νικαίας τὸ β'. κανὼν κβ'.

κεφάλαιον ις'.

Περὶ τοῦ μὴ ὀφείλειν κληρικὸν συνεστιᾶσθαι τῷ δευτερογαμοῦντι, ἢ παρανόμως γαμοῦντι, συνόδου Νεοκαισαρείας κανὼν ζ'. Τιμοθέου κανὼν ια'.

κεφάλαιον ιζ'.

Περὶ τοῦ μηδὲν ποιεῖν τοῦ κληρικοὺς ἄνευ τῶν ἐπισκόπων αὐτῶν, ἀποστόλων κανὼν λθ'. συνόδου Λαοδικείας κανὼν νζ'.

κεφάλαιον ιη'.

Περὶ τοῦ μὴ ποιεῖν τοῦ κληρικοὺς ἐκ συμβολῆς συμπόσια, συνόδου Λαοδικείας κανὼν νε'.

κεφάλαιον ιθ'.

Περὶ τῆς ἐκ χρόνου τάξεως τῶν ἐπισκόπων, καὶ πῶς οἱ κληρικοὶ καθέζονται, καὶ τιμῶσιν ἀλλήλους, συνόδου Νικαίας κανὼν ιη'. συνόδου Λαοδικείας η'. νς' συνόδου Καρθαγένης κανὼν πς'. πθ'. συνόδου ς'. κανὼν ζ'.

ΤΙΤΛΟΣ Θ'.

ΠΕΡΙ ἁμαρτημάτων, καὶ δικῶν ἐπισκόπων, καὶ κληρικῶν, καὶ ἀφορισμοῦ, καὶ καθαιρέσεως, καὶ μετανοίας, καὶ ποῖα ἁμαρτήματα ἡ χειροθεσία λύει.

κεφάλαιον α'.

Τίνες καὶ παρὰ τίσι κατηγοροῦσιν ἐπισκόπων ἢ κληρικῶν, ἀποστόλων κανὼν οδ'. συνόδου τῆς ἐν Κωνσταντινουπόλει κανὼν ς'. συνόδου Χαλκηδόνος κανὼν θ'. κα'. συνόδου Καρθαγένης κανὼν η'. ια'. ιβ'. ιε'. λ'. ρκη'. ρκθ'. Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. α'.

κείμενον.

Γενικῶς περὶ τῶν κωλυομένων κατηγορεῖν οἱουδήποτε προσώπου ἐπὶ δημοσίῳ ἐγκλήματι διαλαμβάνει βιβλίον θ'. τοῦ κώδικος τίτ. α'. καὶ βιβλίον μη'. τῶν διατάξεων τίτ. β'. περὶ δὲ ἐγκληματικῶν, καὶ κανονικῶν, καὶ χρηματικῶν ζητήσεων, εἴρηται ἐν τῷ κώδικι καὶ ταῖς νεαραῖς. φησὶ γὰρ βιβλίον α'. τίτ. β'. διάτ. ς'. ὅτι τὰς ἀναφυομένας κανονικὰς ἀμφισβητήσεις ἐν ὅλῳ τῷ Ἰλλυρικῷ οὐ δεῖ τέμνεσθαι παρὰ γνώμην τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, καὶ τῆς αὐτοῦ συνόδου ἥτις ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης, καὶ τίτ. ς'. διάτ. κβ'. ὅτι ὁ κατὰ συκοφαντίαν ἐπὶ παραστάσει παρὰ δικαστῇ προσφόρῳ αἰώμενος ἐπίσκοπος λδ'. δίδωσι λίτρας. καὶ διάτ. κε'. τοῦ αὐτοῦ τίτ. ὅτι οἱ κληρικοὶ Κωνσταντινουπόλεως τῶν ἐναγόντων μὴ βουλομένων αὐτοῖς ἐνάγειν παρὰ τῷ πατριάρχῃ παρὰ μόνοις τοῖς ὑπάρχοις δικάζονται ἐνάγοντες καὶ ἐναγόμενοι χρηματικῶς καὶ ἐγκληματικῶς ὑπὲρ ἰδικῶν καὶ ἐκκλησιαστικῶν. καὶ οἱ μὲν κληρικοὶ τὸν οἰκονόμον ἢ τὸν ἐκκλησιέκδικον διδόασιν ἐγγυητὴν καὶ οὐχ ἕτερον, ἕως ν'. λιτρῶν, καὶ ἐὰν ὑπερβαίνῃ τὸ πρᾶγμα ὁμολογίαν ἐνώμοτον ἐπὶ τῷ ὑπερβαίνοντι ποσῷ ποιοῦσιν.

σχόλιον.

Ὁ α'. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικος, ἔστι βιβλίον τῶν βασιλικῶν ξ'. τίτ. λδ'. κεφ. κγ'. καὶ μετὰ τὸ αὐτὸ κεφ. εἰσὶν ἕτερα κεφ. διδάσκοντα τίνες δύνανται κινεῖν ἐγκληματικὰ δικαστήρια, καὶ τίνες οὐ δύνανται. ἃ καὶ ἀνάγνωθι. ὁ β'. τίτ. τοῦ μη'. βιβλίου τῶν διατ. ἔστι βιβλίον ξ'. τίτ. λδ'. καὶ ζήτει τὸ α'. τούτου κεφ. καὶ ἐφ' ἑξῆς διάφορα περὶ ἐγκληματικῶν κατηγοριῶν διδάσκοντα. ἡ ς'. διάτ. τοῦ β'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος, ἔστι τῶν βασιλικῶν βιβλίον ε'. τίτ. α'. κεφ. ς'. οὕτως ἔχον ὡς εἰς τὸ κείμενον ἐγράφη. τὸ παρὸν δὲ κεφ. διαλαμβάνει παρὰ τίσιν

ὀφείλονται διάγραμμα χρέων ἐγκληματικῶν, καὶ χρεμματικῶν, ἐπίσκοποι καὶ κλη-
ερικοί. γίνωσκε ὃ ἐστι νεαρὸν τῆ συσταθέντων βασιλέων Κωνσταντίνου καὶ Εἰρακλείου διείλομεν,
μήτε ἐπίσκοπον, μήτε κληρικὸν, μήτε μοναχὸν, χρεμματικῆς ἢ ἐγκληματικῆς χρεῖν αἰ-
τᾶς παρὰ πολιτικῷ ἢ στρατιωτικῷ διάγραμμα αἰχίστη, ἀλλὰ παρὰ μόνοις τοῖς ἰδίοις ἐπισκό-
ποις, ἢ πατριοπολίταις ἢ πατρίαις χρυσοβούλλου τῆ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου
ἐνδικτιῶνος τῆ σφβ'. ἔτους ἀπολιθὲν χρυσοβέλλιον τῆ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου
τῆ Κομνηνῆ περιεδέμβου παῦτα ῥητῶς, εἰ ὃ μεσμὸς ἐν τοῖς διαμαχομένοις ἔστι, καὶ ὁ μὴ τῆς
κοσμικῆς φαινεται κατασχέσεως, ὁ ὃ τῷ δεῖνι κλήρῳ ἐγκατέλειπται, ὁ ὁ ἀγὼν τινι καῦ-
τῷ φόρῳ τῷ ἐναγομένῳ ἀεί παντος ὑποκείσται, καὶ ἕκαστος εἰς τὸ ὃ περφέρειν δικαστήριον
ἀπελεύσεται, εἰ μήπου πλλάκις τις τῆ ἀπάντων τὸ βασιλικὸν δικαστήριον ἐπιζητοῖη. τὰ τε
γὰρ ἀγαλζόντων ἀπάντων ἡ βασιλικὴ μεγαλειότης δια . . . τῆ δίκη, καὶ τιμεῖ τὸ ἀμφίβολον.
εὐάγωνδι καὶ ἡ ιε. κανόνα τῆς ἐν Καρθαγένη συνόδου, καὶ τὰ οἱ αὐτῷ. ἢ κβ' διάτ. τοῦ γ'.
τίτ. τοῦ α'. βιβλίου τῆ κώδικος, ἔστι κεφ. β'. τοῦ α'. τίτ. τῆ γ'. βιβλίου τῆ βασιλικῶν, καὶ ζήτει
ῦτο καταγραφὼν εἰς τὴν ἑρμηνείαν τοῦ μά. καὶ ὅρος τῆ οἱ Λακεδαιμόνιοι συνόδου. ἢ ὃ κε. διάτ.
τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τῆ κώδικος ὡς ἐστὶ δικαστὴς εἰς τὰ βασιλικά. Σημείωσαι τοῦτο τοίνυν ὃ χρυ-
σοβέλλου ἢ περικοπὴ ἢ διοριζομένη προσέχειν δεῖ καὶ τοῖς τῶν ἐλαττόνων μέρεσιν εἰς οἷον δήποτε τοιῶν
δικαστείων, καὶ ζητοῦντας τῆ βασιλικοῦ βήματος τῆ ἀκρόασιν, ἔφαλε σε ἀπὸ μετεωρισμοῦ
προστάξεως τῆ αὐτοῦ βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ἀπολιθὲν σις κῆ μῆνα μαΐου
ἰνδικτιῶνος γ'. καὶ διοριζομένης μοῦ τὸ προσόμοιον τοῦτα ῥητῶς, διοίζεται ὅσων πᾶσιν ὑμῖν
τοῖς τῶν δικαστηρίων προεστῶσιν ἡ βασιλεία μου, μηκέτι τὸ ἀπὸ τοῦδε προσέχειν οἱαδήποτε
αὐτηχαφὴ κωλυόσῃ τινὰ τῆ δικαίων τὴν ἐπ' αὐτὸν καταμφισβητουμένου δίκην γ μάζειν, καὶ ἂν
διαμνημαβάρεως ὑπεσημασμένη τυγχάνῃ, καὶ τὴν κρείττελλον φερομένη φόρτου, ἀλλὰ
μῆ ἐπάγειν τοῖς ἀμφιβόλοις ἔννομον. εἰ δ' ὅτι εἴκοσιν ἡμερῶν παρὰ δόξαν χρόνος, μετ' οὐδέ-
κα δικαστὴν ἕτερον παρὰ δίκαιον, ὅτι καὶ τῷ νόμῳ τούτῳ δίκαιον, μετὰ μὲν προφάσει τὰ ὑπὸ τὸ
τῆς βασιλέως, μου βῆμα ἐκδικῆναι ἴσως ἐς ὕστερον τὴν δίκην γίνεται εἰσαγόμενον ἔμπαλιν δίκαι-
ον ὅλως εἰς τὴν διάγνωσιν, ἀλλὰ τιμεῖν ἢ καταστερίζειν τοῦτον ἀμφιβολίαν καὶ τὴν
τῆ νόμου ἀκρίβειαν, μὴ ἀποκλῄοντος παίτως τῷ δικαζομένῳ τῆ τῆς ἐκκλήτου δίκαιο-
είου. εἶχε βεβλάφθαι οἶεται, καὶ τοῦτο πάντες ὑμεῖς γινώσκοντες οἱ δικάζοντες ἀσύδετοι τὰ
αὐταπόδειμεν ὑμῖν δίκας τηρεῖν, ὡς τέλος, παίτως ἐπέχειν ἔννομον. ἐβούλετο ὃ ἡ βασι-
λεία μου μὴ τὸ παραπεμφθῆναι ὅλως τινὶ τῶν δικαζῶν ὑποδέσιν καὶ φείσεξιν αὐτοῖς, ἐξ
οἱασδήποτε μεταγνωσέρας χαφῆς ὑπερεπόσης εἰς τὴ βασιλείαν μου εἰσαχθῆναι τὴν δίκην,
ἢ διάγωσιν ἐμποδίζεσθαι, ἀλλὰ προσβαίνειν παίτων τῶν ἕως τέλους αὐτοπιστως παρὰ τῷ αὐ-
τῷ δικαστῇ, ἢ τοῖς ὡς αὐτοτέρῳ εἰρημένοις συνδεδεμένοις τούτῳ συνδικασταῖς, οὐτὸς δηλαδὴ ἢ
τῷ δικαστῇ, ἢ τοῖς ὡς αὐτοτέρῳ εἰρημένοις συνδεδεμένοις τούτῳ συνδικασταῖς, οὐτὸς δηλαδὴ ἢ
ἀδείας ἕξῃ καὶ ἕτερον ὑπεκαλέσασθαι κατ' ἐκκλητον δικαστήριον, ἢ τὴν τῶ κράτους ἡμῶν ζη-
τῆσαι ἀκρόασιν.

κείμενον.

Καὶ οἱ νόμοι γὰρ, καὶ εἰκανόνες καλύουσι κληρικὴν ὁμιλίαν, ὃν οἰκονό-

μῳ ἐναγόμενον ὁ δίδωσιν ἐγγυητὴν, καὶ αὐτὸς ἢ, καὶ οἱ κληρικοὶ δύο νο-
μίσματα ὑπὲρ ὑπομνήσεως καὶ παροδολῆς διδάσκειν ἐντολέως, καὶ τὰ λοι-
πὰ δαπανήματα φειδωλοτερῶς ποιῆσι. καὶ ἡ λβ'. Διάτ. ὃ αὐτὸ τίτ. φησὶν,
ἐπὶ οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ καὶ οἱ μοναχοὶ διάξιμοι ὁ γίνονται, ἀλλὰ
παρὰ ἀρχῆσι τῆ ἐπαρχιῶν αὐτῶν ἐνάγονται. ἐν Κωνσταντινοπόλει ὃ δι ἐγ-
κόμενοι παρὰ μόνοις τοῖς ὑπάρχοις ἐνάγονται. ἔνθα καὶ ἡ τιμὴ αὐτοῖς φυ-
λάττεται, καὶ σωτῆρες λαμβάνεσιν. ἐν ὃ ταῖς ἐπαρχίαις ὑπὲρ ἰδίων
πραγμάτων ἐναγόμενοι, ἢ σὺν ἐκκλησιαστικὴς διδόασιν ἐγγυητάς. πα-
ρὰ ὃ τοῖς ὑπάρχοις χρεματικῶς ἐναγόμενοι, ἢ ἀλλήλους ἐγγυῶνται, ἢ
ἐνυποθήκως παίσιν ὁμολογίκως. ὑπὲρ ὃ τῶν ἐκκλησιαστικῶν μὲν ὁ
οἰκονόμῳ ἐνάγεται, ὃν χρὴ παρὰ ὃ ἐπισκόπῳ γίνεσθαι, καὶ δίδωσι τὸν
ἐκκλησιέκδικον ἐγγυητὴν, καὶ ἐν μὲν τοῖς ἥττοσι δικαστηρίοις ὑπὲρ ὑπο-
μνήσεως διδόασιν οἱ ἐπίσκοποι, καὶ οἱ κληρικοὶ τοῖς ἐκδίκοις ὃ τολέων
ὃ νομίσματος. εἰ ὃ δ' ἐκδίκους τῶν ἐπάρχων ἀπὸ ψήφῳ αὐτῶν ὑπομ-
νηθῶσιν ἐν ἐπαρχίᾳ, ὃ πλέον δύο νομισμάτων διδόασιν ὑπὲρ ἀποστό-
λων. ἐν Βυζαντίῳ ὃ νομίζματα γ'. δίδωσιν ὁ ἐξωτικὸς κληρικὸς ὑπὲρ
ἀποστόλων, ἐφ' ὁσονδήποτε πράγμα ἐναγόμενον, ὁ ἐκδίκους οἱονδή-
ποτε κληρικὸν ὑβρίζων, ἢ σκύλλων, ἀποζωννυται καὶ ἐχάτως τιμωρᾶται.
εἰ δέ τινες φανῶσιν ἀδίκως αὐτοῖς ἐνάγοντες, διδόασιν αὐτοῖς πάσας τὰς
καὶ ἀποφάσεις αὐτῶν ἐκ παροιμίᾳ τῆς δίκης παροιζομένας αὐτοῖς δα-
πάνας.

σχόλιον.

Οὐχ εὑρέσκων νόμον ἢ κανόνα κωλύοντα, ἢ ἐπιτρέποντα τὸν κληρικὸν ὁμιλεῖν, μήποτε
ὧν ἢ παρῆται νομοθέτα ἀπειθῆ πρὸς τὸ ὑπὸ τῆ κυρίως ἐν εὐαγγελίοις εἰρημένον περὶ τῆ
μὴ ὀμνύειν τινὰ, καὶ αὐτὸ τῆς ἁγίας γραφῆς νόμου καὶ κανόνος ἐκκλίνει. ἢ ὃ λβ'. διάτ. τοῦ γ'. τίτ.
τοῦ α'. βιβλίου τῆ κώδικος ἐν ἕτερη εἰς τὰ βασιλικὰ ἀνάγνωδι καὶ τὸ β'. σχόλιον τοῦ κζ'. κεφ. τοῦ
παρόντος τίτ.

σχόλιον.

Ηὑ. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τῆ κώδικος, ἔστι κεφ. θ'. τοῦ γ'. τίτ. τοῦ γ'. βιβλίου
τῶν βασιλικῶν. τὸ ὃ ῥῆμα τὸ λεγόμενον ἐν τῷ κώδικι, γλωικῶς γὰρ ἔξεστιν ἑκάστῳ τῶν ὑπὲρ
ἑαυτῆ καταφερεῖν, ἐν ἕτερη εἰς τὰ βασιλικά. ἢ β'. διάτ. τοῦ δ'. τίτ. τοῦ α'. βιβλίου τῆ κώ-
δικος ἐν ἔστιν εἰς τὰ βασιλικὰ, ὃ δὲ ἢ ζ'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου, ὃ δὲ ἢ ή. ὃ δὲ ἢ ιγ'.
ἀνάγνωδι ὃ τὸ μά'. κεφ. τοῦ α'. τίτ. τοῦ γ'. βιβλίου μέρος ὂν τῆς ϛκγ'. νεαρᾶς, καὶ λέγε κζ'
τοῦτο γὰρ ἐν τοῖς τῶν ἑλκυσμὸς προτερον παρὰ τοῖς ὑπισκόποις. τῷ ὃ ς'. κεφ. τοῦ αὐτοῦ τίτ. καὶ
βιβλίου μὴ προσῆκε. διάτ. ἰαφ' ἐστὶ τοῦτο, καὶ αὐτὴ ὑπὸ τῆ ῥηθείσης μεταγνωσέρως νεαρᾶς,
ἀλλὰ μηδὲ ἕτερα ἰουστινιανείῳ νεαρᾶ προσῆκε ἕτερόν τι λεγούσῃ, ὅτι ὃ δὲ ἐτέθη εἰς τὰ βασιλι-
κὰ, καὶ εὐρέσκεται, ἀλλ' ὅσον μὲ εἰς τὰ πρώτως παρὰ τοῖς ὑπισκόποις, καὶ τοῖς μητροπολί-

τους λαλεῖσθαι τας ὑποθήκας, καὶ ὅπως ἔχρησε αὐτας εἰς τὸ παιδαρχῆσαι, περὶ ὧν τῷ ῥηθέντι μοι. κεφ. τῆ α'. πίτ. τοῦ. βιβλίου. ἔσον ἦ εἰς τὸ μὴ ἔχειν μετουσίαν πρὸς τοὺς πλουσίους, ἢ στρατιωτικὰς ἀρχὰς τας ἢ ἱερωσύνων, περὶ ὧν τῆ νεαρᾷ τοῦ βασιλέως Κωνσταντίνου, καὶ Ἡρακλείου, καὶ τῆ νεαρᾷ τοῦ βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ὧν μικρὰν ἐπεσκεψάμεθα ἐν τῇ καταρχῇ τοῦ παρόντος πίτ. ἀνάγκαιον δὲ καὶ τὸ ιε'. καὶ ὀνομαζόμενον σωμάδιον, καὶ τὸ θ'. κεφάλαιον τοῦ Χαλκηδόνι, καὶ τὰ ἐν αὐτῷ λύοντα πᾶσαν ἀμφιβολίαν. τὸ πλάτος ἦ κθ'. διατ. ἥτις ἐστὶν εἰς τὰ βασιλικὰ, ὅπως ἔχει, καὶ γὰρ τοιούτων ἐπισκοπικῶν ἀποφάσεων ἐν ἓξ χώραν ἐκλήτοις πῆς παρ' ἡμῶν νενομοθέτηται. ἡ μὴν δ'. διάτ. ἔστι νεαρὰ ἀθ'. τοῦ βασιλέως Ἰουστινιανοῦ, ἐν ἐτέρᾳ ἦ εἰς τὰ βασιλικά. καὶ ἡ ιε'. διάτ. ἔστι νεαρὰ οθ'. καὶ ἐδὲ αὐτὴ ἐπεγράφη.

κείμενον.

Γίνασκε ἦ ὅτι ἡ β'. διάτ. ἓξ αὐτοῦ α'. πίτ. τούτων πασῶν ἰσχυροτέρα ἔσται, ὡς καὶ μεταμεστέρα φύσιν, ὅτι ἐάν τις ἓξ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἢ κληρικοῦ κατηγορήσῃ ἐπὶ αἰτίᾳ δυναμένῃ καθ' ὃν νόμους καὶ ὃν κανόνας ἐμποδίσαι τῇ χειροτονίᾳ, ἐπεχέσθω αὐτῷ, καὶ ὁ μέλλων χειροτονεῖν ἐξεταζέτω τὴν αἰτίαν, παρόντος καὶ ἐπεξιόντος ἓξ κατηγόρου, ἢ ἀναβαλλομένου ἐπὶ τρεῖς μῆνας πληρῶσαι τὴν κατηγορίαν, εἰ μὲν ἀνάθυνος. φανῇ χειροτονείσθω, εἰ ἦ ἄνάθυνος, ἐμποδιζέσθω. εἰ ἦ κατήγορος μὴ ἀποδείξας ἢ ἀποφυγὼν, σκέλλεται τῆς ἐπαρχίας ἐν ᾗ κατοικεῖ. εἰ ἦ χειροτονίας πρὸ ἐξετάσεως γινομένης, ὁ μὲν χειροτονηθεὶς ἐξωθεῖται, ὁ ἦ χειροτονήσας ἐπὶ ἐνιαυτὸν τῆς ἰδίας λειτουργίας χωρίζεται, καὶ πᾶσαι ἡ ἐσία αὐτοῦ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ προσκυρᾶται. τὰ αὐτὰ φησι καὶ ἡ ιζ'. διάτ. ἓξ αὐτοῦ πίτ. ὁ μόνον πρὸ χειροτονίας ἐπισκόπου καὶ κληρικοῦ, ἀλλὰ καὶ ἡγουμένου, διαλαθεῖν ἦ λέγουσι ὅτι ὁ κατήγορος μὴ ἀποδείξας, ἀλλ' ἀποστὰς, εἰ μὲν κληρικός ἐστιν, ἐξωθεῖται ἓξ βαθμοῦ αὐτοῦ, εἰ ἦ λαϊκὸς σωφρονίζεται, καὶ ὅτι γινομένης τῆς χειροτονίας πρὸ ζητήσεως ὁ χειροτονήσας καὶ ὁ χειροτονηθεὶς τῆς ἐκκλησιαστικῆς ἐξωθοῦνται.

σχόλιον.

Ἡ β'. διάτ. τοῦ α'. πίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ Ἰουστινιάνου ἐχυ'. τοῦτο ἦ αὐτῆς τὸ κεφ. ὃς ἐστὶν εἰς τὰ βασιλικά. ἡ ἦ ιζ'. διάτ. τοῦ α'. πίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ Ἰουστινιάνειος ελζ'. κεφάλαιον βιβλίου. τῶν βασιλικῶν πίτ. α'. κεφ. ν'. Ἔκδοσις ν'. καταρωδεῖται περὶ τὸ τέλος τοῦ κ'. κεφ. τοῦ α'. πίτ. τοῦ παρόντος συντάγματος.

κείμενον.

Ἡ ἦ αὐτὴ β'. διάτ. ἓξ α'. πίτ. τῶν νεαρῶν, φησὶν ὅτι ὁ ἔχων δίκαιον πρὸς κληρικὸν, ἢ διακόνισσαν, ἢ μοναχὸν, ἢ μοναστρίαν, ἢ ἀσκήτριαν τῷ ἐπισκόπῳ αὐτοῦ προσίτω, καὶκεῖνος κρινέτω, καὶ ἐὰν ἐφησυχάσῃ μέρος ἑκάτερον, ὁ ἐκδοσιασμὸς διὰ ἓξ ἄρχοντος γινέσθω. εἰ δέ τις τῶν δικαζομένων,

εἴσω δέκα ἡμερῶν αὐτείσῃ, ὁ τοπικὸν ἀρχων ἐξεταζέτω τὸ πρᾶγμα, ἢ βεβαιάτω τὴν ψῆφον, ἢ σκέλλεσθω, μὴ δυναμένου ἓξ δευτέρου ἐπὶ τούτῳ ἠτηθέντος, ἐκκαλεῖσθαι. ἐναντίως ἦ τῷ ἐπισκόπῳ ἓξ ἄρχοντος ψηφιζομένης, ἢ ἓξ ἄρχοντος ψῆφος ἐπὶ πᾶσι σκληρότερον καὶ τὸν νόμον ἀναφέρεται καὶ ἐξετάζεται. ἐὰν ἦ ἀπὸ κελεύσεως ἢ προστάξεως δικάσῃ ἐπίσκοπος, ἢ ἐκκλησίας τὴν ψῆφον αὐτοῦ, ἐπὶ τὸν παραπέμψαντα τὴν ἐπόφασιν αἰ ἀφέρεσθω. ἐὰν ἔγκλημα κινεῖται καὶ τινος τῶν εἰρημένων, εἰ μὲν παρὰ ἐπισκόπου καὶ εὑρῃ τὴν ἀλήθειαν, σκελλέτω αὐτὸν ἓξ βαθμοῦ, καὶ τηνικαῦτα ὁ προσφορὰς δικασὴς αὐτὸν σωσχέτω, καὶ τὴν δίκην νομίμως ἐξετάζων ἐπιτρεπέτω αὐτῇ πέρας. εἰ ἦ πρῶτον παρὰ τῷ ἄρχοντι κινηθῇ, καὶ ἀποδειχθῇ, φανερέσθω τὰ ὑπομνήματα τῷ ἐπιζητοῦντι, καὶ εἰ ἐξ αὐτῶν εὑρῃ τὸ ἐγκλημέλημα, χωριζέτω αὐτὸν ἓξ βαθμοῦ, καὶ ὁ δικασὴς ἐπιφερέτω αὐτῷ νόμιμον σκόλικησιν. εἰ ἦ νομίσῃ ὁ ἐπίσκοπος μὴ δικαίως συσῆναι τὰ πραχθέντα, γινέσθω κατηγορητὴς. ὑπὸ νόμιμον ἀσφάλειαν, μὴ ἐξωθούμενος ἓξ ἰδίου βαθμοῦ ἕως αὖ ἡ βασιλεία τῆς ὑποθέσεως ἐν εἰδήσῃ λάβῃ ἓξ ἐπισκόπου καὶ ἓξ ἄρχοντος γινομένης, κελεύσῃ τὸ φαινόμενον αὐτῇ. ἐὰν ὁ ἐπίσκοπος ὑπερτεθῇ ἐπὶ τῆς χρηματικῆς δικασηρίοις, ἐχέτω ἄδειαν ὁ ἐναντίων προσιέναι τῷ ἄρχοντι, ὁ δὲ αἰτιαθεὶς ἐ δύνασιν ἐγγυητὴν, ἀλλὰ ὁμολογίαν πιεῖν ὑπόσχηται αὖ ἔρχεται ἐπὶ τῆς ἐγκληματικῆς ὑπὸ τὴν νόμιμον ἀσφάλειαν τὸ κατηγορούμενον προσωπον γίνεται. ἐπὶ ἦ τῆς σκλησιαστικῆς ὁ ἐπίσκοπος ἓξ οὗ κανόνας σκοπεῖ, ἓξ ἄρχοντος ἀρχὴν ἔχοντος μετὰ σπουδῆς ἐξ ἀλλήλους ἔχοντες δίκην τῆς αὐτῆς συνόδου παρὰ τῷ μητροπολίτῃ αὐτῶν ἢ ἑτέροις ἐπισκόποις τῆς αὐτῆς συνόδου δικάζονται. ἢ εἰ μὴ μέρος ἑκάτερον ἐμμένει, ὁ πατριάρχης αὐτῶν σκοπεῖ, ἔδεν ὃ τοῖς παρ' αὐτοῦ τυπωμένοις αὐτιλέγειν δυναμένοις. τὸ αὐτὸ ἐστι καὶ κληρικὸς ἢ ἓξ ἐπισκόπου αὐτοῦ προσέλθῃ, προσελθόντος ἦ καὶ μητροπολίτου γινομένης ὁ πατριάρχης αὐτοῦ ὁμοίως κρίνει. ἐπίσκοπος δικαζόμενος ἔτε ἐγκλησιαστικῶν ἔτε ὁμολογίας πιεῖ. οἱ οἰκονόμοι καὶ πτωχοτρόφοι καὶ νοσοκόμοι καὶ οἱ τοιοῦτοι τῷ δίκῳ ἐπιζητοῦνται, καὶ τὸ φαινόμενον ἀποφείλειν αὐτοῦ ἀπὸ τούτων, μὴ δυναμένων πρὸς τῆς ἀπαιτήσεως, εἰς ἄλλο δικασήριον αὐτοὺς χωρεῖν, ἀλλὰ μετὰ τῶν ἀπαιτησάντων, ἐὰν νομίσωσι βεβλάφθαι, εἰ μὲν ἐπίσκοπος ἐστὶν ὁ κρίνας, ὁ μητροπολίτης ἐξετάζει, εἰ ἦ μητροπολίτης ἦν, ὁ πατριάρχης σκοπεῖ, εἰ ἦ πρὸ τῆς τῶν λογισμῶν πίστεως καὶ τῆς ἀπαιτήσεως τελευτήσῃ τις τῶν εἰρημένων κληρονόμος αὐτοῦ γινέσθω.

χόλιον.

Ἡ β'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν ὡς εἴπομεν ἔσται νεαρὰ ἰουστινιάνειος ρκγ'. καὶ κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. λζ'. λη'. λθ'. μέχρι τοῦ μ'. διαλαμβάνει ὅσα συνωψίσθησαν.

κείμενον.

Ὁμοίως βιβλίον α'. τίτ. α'. διάτ. μα'. ἤτις φησὶ ὅτι κατ' ἐνιαυτὸν ὁ οἰκονόμος τὸν λόγον τῆς αὐτοῦ διοικήσεως παρατίθεται τῷ ἐπισκόπῳ. ἡ δὲ κδ'. διάτ. τοῦ β'. τίτ. τοῦ αὐτοῦ βιβλίου λέγει, ὅτι δεῖ τοὺς οἰκονόμους Κωνσταντινουπόλεως κατὰ μῆνα ἢ τὸ μήκιστον ὑπὲρ δύο, λογοποιεῖν πρὸς τοὺς ἀρκαρίους ἐπεὶ κινδυνεύουσιν.

χόλιον.

Ἡ μα'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. οὐδὲ ἡ κδ'. διάτ. τοῦ β'. τίτ. τοῦ αὐτοῦ βιβλίου.

χόλιον.

Ἐξ ἐπαρχίας ἐν Κωνσταντινουπόλει εὑρισκόμενος ἐπίσκοπος ἢ κληρικὸς τοῖς ἐνάγουσι παρὰ μόνοις τοῖς ἐπάρχοις τῶν πραιτωρίων ἢ τῷ παρὰ τῆς βασιλείας ἀφοριζομένῳ ἀπολογεῖται, εἰ μὴ ἐπὶ χώρας ἤρχθη ἡ ὑπόθεσις, τότε γὰρ ἐκεῖ πληροῦται. οἱ τῶν ἐκκλησιῶν εὐλαβεῖς ἀποκρισιάριοι οὐκ ἐνάγονται ὑπὲρ τῶν ἐπισκόπων ἢ τῶν ἐκκλησιῶν χάριν δημοσίου ἢ ἰδιωτικοῦ χρέους, εἰ μὴ ἐξ ἐντολῶν τῶν ἐπισκόπων ἢ τῶν οἰκονόμων ἐνάγουσί τισι. τότε γὰρ μόνον αὐτῶν τὰς ἐναγωγὰς ὑποδέχονται. εἰ δὲ καὶ ἐνέχους αὐτοὺς καταστήσουσιν ἐν τὸ ποιεῖν τὰς ἀποκρίσεις δέχονται τὰς παρὰ τούτων ἐναγωγάς. οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ διὰ πρεσβείαν ἢ χειροτονίαν ἀποδημοῦντες, οὐκ ἐνάγονται, μέχρις ἂν ὑποστρέψωσι μὴ βλαπτομένων τῶν ἐχόντων αὐτοὺς ὑπευθύνους ἐκ τῆς αὐτῶν ἀπολείψεως περὶ χρονίαν παραγραφήν. αἱ ὑπομνήσεις καὶ οἱ ἐκβιβασμοὶ μετὰ τιμῆς προσαγέσθωσαν τοῖς κληρικοῖς, καὶ μοναχοῖς, καὶ ἀσκητρίαις, καὶ ἀσκητρίοις ἐπὶ τοῖς χρηματικοῖς, ἰδιωτικοῖς καὶ δημοσίοις. καὶ μοναστρία ἢ ἀσκήτρια τοῦ μοναστηρίου μὴ ἀφελκέσθω, ἀλλὰ δι' ἐντολέως κρινέσθω. ὁ δὲ μοναχὸς τὰς ἰδίας ἢ τὰς τοῦ μοναστηρίου, εἴτε δι' ἑαυτοῦ εἴτε δι' ἐντολέως θέλει. εἰ δὲ παρὰ ταῦτα γένηται, ὁ δικαστὴς ἀποζώννυται, καὶ πέντε λίτρας τοῖς πριβάτοις δίδωσι καὶ ὁ ἐκβιβαστὴς βασανίζεται καὶ ἐξορίζεται προνοίᾳ τοῦ ἐπισκόπου, ὅστις καὶ ἀναφέρει τῷ ἄρχοντι ὑπερτιθεμένου τὴν ἐκδίκησιν. ὑπὲρ δὲ ὑπομνήσεως, ἢ ἐγκληματικῆς, τὰ τοιαῦτα πρόσωπα ἔν τε Κωνσταντινουπόλει καὶ ὁπουδήποτε πλέον τῶν δ'. κερατίων διδόασιν. εἰ δὲ κατὰ βα-

σιλικὴν κέλευσιν ἢ παρὰ ἄρχοντι ἢ πατριάρχῃ σταλῇ τις εἰς ὑπόμνησιν αὐτῶν, οὐ πλέον λήψεται ἑνὸς νομίσματος. εἰ δὲ πολλὰ τοιαῦτα πρόσωπα ἐπὶ μιᾷ καὶ τῇ αὐτῇ αἰτίᾳ ὑπομνησθῶσιν ἑνὸς μόνου προσώπου διδόασιν. ἐπίσκοπος ὑπὲρ τῶν ἰδίων πραγμάτων ἐναγόμενος δίδωσι σπόρτουλα, ὑπὲρ δὲ τῆς ἐκκλησίας αὐτοῦ μὴ ὀχλείσθω, ἀλλ' ὁ οἰκονόμος, ἢ ὁ ἐπὶ τούτῳ προβαλλόμενος. ὁ δὲ παρὰ ταῦτα σπόρτουλα λαβὼν τὸ διπλοῦν ἀναδίδωσι, καὶ ὑπόστρατος μὲν ὢν ἀποζώννυται, κληρικὸς δὲ καθαιρεῖται. ἐπίσκοπος οὔτε ἐπὶ χρηματικῇ οὔτε ἐγκληματικῇ δίκῃ χωρὶς κελεύσεως βασιλικῆς, διάγεται, ἢ παρίσταται. ὁ δὲ παρὰ ταῦτα προστάξας ἢ ἐγγράφως ἢ ἀγράφως καὶ ἀποζώννυται καὶ η'. λίτρας ζημιοῦται τῇ ἐκκλησίᾳ τοῦ ἐπισκόπου, καὶ ὁ ἐκβιβαστὴς ἀποζώννυται, καὶ βασανίζομενος ἐξορίζεται. καὶ ἡ ιζ'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, φησὶν ὅτι ἐπίσκοπου κατηγορουμένου ὁ μητροπολίτης κρίνει, εἰ δὲ μητροπολίτης κατηγορεῖται ὁ πατριάρχης αὐτοῦ σκοπεῖ, εἰ δὲ κληρικὸς ἢ μοναχὸς ὁ ἐπίσκοπος αὐτοῦ, καὶ ὁ πταίσας κανονικῶς σωφρονίζεται τῷ κριματι τοῦ ἐξετάζοντος. ἡ δὲ περὶ τοποτηρητῶν ρλδ'. νεαρὰ λέγει ὅτι μονάστρια διὰ οὐδεμίαν ἀγωγὴν ἐκ τοῦ ἰδίου μοναστηρίου ἕλκεται.

χόλιον.

Ἀπὸ τοῦ παρόντος χωρίου ἄρχεται ἡ ρκγ'. νεαρὰ κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ. α'. κεφ. μζ'. μη'. μθ'. ν'. να'. νβ'. καὶ νγ'. καὶ ἔχουσι τὰ συνωψισθέντα ὡς ἐν τῷ πλάτει περιέχονται. καὶ ἀνάγνωθι ταῦτα. τὸ δὲ ἐπίσκοπον χωρὶς κελεύσεως βασιλικῆς μὴ διάγεσθαι, ἢ παρίστασθαι, κεῖται ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. ιζ'. ἔχοντι ὡς συνωψίσθη. ἡ ιζ'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. κ'. περὶ τὰ μέσα οὕτως ἔχοντι ὡς εἰς τὸ κείμενον ἐγράφη. ἡ ρλδ'. νεαρὰ κεῖται ἐν βιβλίῳ ς'. τίτ. ιθ'. κεφ. θ'. θέματι ε'. λέγει δὲ τὸ η'. ταύτης κεφ. οὕτω ῥητῶς μονάστριαν μέντοι, ἢ ἀσκήτριαν δι' οὐδεμίαν ἀγωγὴν ἀφέλκεσθαι συγχωρούμεν ἐκ τῶν οἰκείων ἢ μοναστηρίων ἢ ἀσκητηρίων.

κεφάλαιον β'.

Πόσοι καὶ τίνες καταμαρτυροῦσιν ἐπισκόπων, ἢ κληρικῶν, ἀποστόλων κανὼν ε'. συνόδου Χαλκηδόνος κανὼν κα'. συνόδου Καρθαγένης κανὼν νθ'. ρλα'. ρκθ'. καὶ ρλ'.

κείμενον.

Ὁποίους δεῖ εἶναι τοὺς ἐν δίκῃ μαρτυροῦντας, διδάσκει ὁ ε'. τίτ. τοῦ κβ'. βιβλίου καὶ ὁ η'. τίτ. τοῦ δ'. βιβλίου τοῦ κώδικος, καὶ ἡ περὶ μαρτύρων ϛ'. νεαρά ἡ δὲ θ'. διάτ. τοῦ αὐτοῦ η'. τίτ. φησὶν ὅτι εἷς μόνος οὐκ ἀκούεται κἂν μέγας εἴη ἀξιωματικός. αἱρετικὸς δὲ καθόλου οὐ καταμαρτυρεῖ ὀρθοδόξου, εἰ μὴ περὶ βουλευτικῆς καταστάσεως ὁ ὀρθόδοξος ἐνάγεται, ὡς βιβλίον α'. τοῦ

κεφάλαιον ε'. Διάτ. κά. καὶ ἐν τῇ περὶ βιβλίων καὶ τάξεων αἱρετικῶν μέ. νεαρᾶς, ἥτις ἀνήνεκται ἐν τοῖς παραλίτλοις ξγ'. Ἰτλα τῶν νεαρῶν.

σχόλιον.

Ὁ ε'. πίτ. τῆ κβ'. βιβλίῳ τῆ διατ. ἔστι πίτ. ά. τῆ κά. βιβλίῳ τῶν βασιλικῶν, καὶ λέγει τὸ αὐτὸ ά. κεφ. ἀξιοπίστοις εἶ δεῖ τοὺς μάρτυρας, καὶ παραλογίαν καὶ ὅτι χρηματικοῖς οὐ μὴ κωλυομένοις ἀπὸ τῆς νόμου ἢ ἄλλως κατὰ τεύχημα. ὁμ. πίτ. τῆ δ'. βιβλίῳ τῆ κώδικος, ἔστι κεφ. κά. τῆ ά. πίτ. τῆ κά. βιβλίῳ πῶς ἔχου, ἀποβλητος εἰς μαρτυρίαν γίνεται ὁ καταδικασθεὶς ὅτι τὸ ποιῆσαι παραχώρησι φλυκείαν. ἡ περὶ μαρτύρων ς'. νεαρᾶ ἐτέρα, ἐν βιβλίῳ τῶν βασιλικῶν κά. κεφ. μς'. ὅτως ἔχετα περὶ τῶν μαρτύρων, διατίθεται καὶ μάλιστα ὅτι τῆς μεγάλης πόλεως ταύτης καὶ εὐδαίμονος. καὶ ἀνάγνωθι ταύτην σφόδρα ὅταν ἀναγκαίαν, καὶ πολλὰ περὶ τῶν ὀφειλόντων μαρτυρεῖν διδάσκουσαν. ἡ θ'. διάτ. τῆ κ'. πίτ. τῆ δ'. βιβλίῳ τῆ κώδικος ἑτέρα ἐν βιβλίῳ τῶν βασιλικῶν κά. πίτ. ά. κεφ. λς'. δέκατα β'. ὅτως ἔχουτι, δεῖ τοὺς μάρτυρας πρότερον ὀμόσαι, πρὶν ἢ μαρτυρήσωσι. δεῖ δὲ τοῖς πιστοτέροις μᾶλλον πιστεύειν ὅσοι δὲ μαρτυρίαι ἀκυρίστε ἐν οἱαδήποτε δίκῃ, καὶ ἐν συναπτικοῖς εἴη. ἡ καὶ. διάτ. τῆ ε'. πίτ. τῆ ά. βιβλίῳ τῆ κώδικος, ἔστι βιβλίον καὶ. τῶν βασιλικῶν πίτ. ά. κεφ. με'. ὅτως ἔχου, τῶν αἱρετικῶν οἱ μὲ μανιχαῖοι, ἢ βορβοσίται, ἢ ἕλληνες, ἢ σαμαρεῖται, ἢ μοντανισταί, ἢ τασκοδρογίται, ἢ ὀφίται, ἢ οἱ τῶν ἰουδαίων θρησκείαν σέβοντες, ἐν μηδενὶ μαρτυρεῖτωσαν. οἱ δὲ λοιποὶ πάντες ἐν διαιτητείῳ μὲ ὀρθόδοξον ἔχοντι αὐτὸ δίκαιον μὴ ἀναιρεθῶσαν, ἐν δὲ τοῖς λοιποῖς πᾶσι συμκλάμβανειν, ἢ διαθήκαις, ἢ διαιτηταῖς αἱρετικὸς ἔχουσιν αὐτὸ δίκαιος, ἀδιαστίκτως μαρτυρεῖτωσαν τοῦ πλάτους χάριν τῆ ἀποδόξεων. τὰ δὲ ἐν τῇ τοιαύτῃ διαταξει περιεχόμενα περὶ τῆ βυλευτικῆς τάξεως, καὶ καταστάσεως οὐ ἐτέθησαν ἐν τοῖς βασιλικοῖς ἀλλὰ ἀδε ἡ μέ. Ἰουστινιάνος νεαρᾷ ἡ ἐν τοῖς παραπίτλοις κειμένη.

κεφάλαιον γ'.

Ε'αν τις ἐπὶ πολλοῖς ἐγκλήμασιν κληρικὸν κατηγορήσας μὴ ἀποδείξῃ τὸ πρωτεῖον πρῶτον κεφάλαιον, συνόδου Καρθαγένης κανὼν ρλ'.

κεφάλαιον δ'.

Περὶ τῶν μὴ παραχωρούντων τοῖς οἰκείοις ἐπισκόποις, καὶ περὶ ἐπισκόπων δεχομένων ἢ ἀπὸ ξ' ἰδίας συμβληθέντα ἐπισκόπου ἢ ἀπὸ κοινωνίας γενόμενον, συνόδου Ἀντιοχείας κανὼν ε'. ς'. συνόδου Καρθαγένης κανὼν θ'. κθ'. ξβ'. οθ'. ρκβ', καὶ ρλή'.

κεφάλαιον ε'.

Περὶ δικῶν ἐπισκόπων καὶ κληρικῶν, ἀποστόλων κανὼν οδ'. συνόδου Ἀντιοχείας κανὼν. ιδ'. ιε'. συνόδου Χαλκηδόνος κανὼν θ'. ιζ'. συνόδου Σαρδικῆς κανὼν γ'. ε'. ιδ'. συνόδου Καρθαγένης κανὼν ιε'. κή'. ρή'. ρκά. καὶ ρκή'. τὰ ὀφείλοντα ἐν τούτῳ τῷ κεφαλαίῳ παραγραφῆναι συνῆψα ταῖς παραγραφαῖς ξ' προλαβόντος κεφ. ζητῶν ὅσα περὶ χρηματικῶν ἢ ἐγκληματικῶν δικῶν, ἐκεῖνα ἀνάγνωθι.

κεφά-

κεφάλαιον ς'.

Περὶ ἀναψηλαφήσεως ψήφων ἐπισκόπων, συνόδου Ἀντιοχείας κανὼν ς'. συνόδου Σαρδικῆς κανὼν γ'. δ'. ε'. ιδ'. συνόδου Καρθαγένης κανὼν ιδ'. ιε'. κή'. οθ'. ξς'. ρκβ'. ρκε'.

κείμενον.

Η' ή'. Διάτ. ξ' δ'. Ἰτ. ξ ά. βιβλίῳ φησὶ ὅτι αἱ τῶν ἐπισκόπων ψῆφοι ταῖς τῶν ὑπάρχων ἐοίκασι, ἀφ' ὧν ἐκκαλεῖσθαι δὸν ἔξεστι. καὶ ἡ κθ'. Διάτ. ξ' αὐτῆ Ἰτ. ὅτι εἴτε μόνος μητροπολίτης, εἴτε μετὰ τῶν συνόδου αὐτῆ δικάσῃ ἐπισκόπῳ, ἢ κληρικῷ, καὶ μὴ στερηθῇ τὰ τετυπωμένα, ὁ τῆς διοικήσεως παρεδρεύοντος σκοπεῖ, καὶ τοῖς ἐξ αὐτῆ κεκριμένοις ἐμμένεσθαι, ὡς αὖ εἰ αὐτὸς ἐξ ἀρχῆς ἐδίκασε. ὅτε γὰρ ἐκκαλοῦνται αἱ τῶν παρεδρευόντων ψῆφοι. τὸ αὐτὸ καὶ ἡ β'. Διάτ. ξ' ά. πίτ. τῶν νεαρῶν, ἥτις φησὶν ὡς εἴ τις τῶν παρὰ ἐπισκόπων δικαζομένων, ἕως ἐτῶν ί. ἡμερῶν αὐτειπὴ, ὁ τὸ πρῶτον ἄρχων ἐξελαζέτω τὸ πεδίον, καὶ ἡ βεβαιότω τὴν ψῆφον, καὶ ἐμβιβαζέτω μὴ δυναμένῳ ξ' δευτέρου ἐπὶ τάτῳ ἡτιμένου, ἐκκαλεῖσθαι. ἐναντίως δὲ ξ' ἄρχοντος τῷ ἐπισκόπῳ ψηφιζομένῳ, ἢ ξ' ἄρχοντος ψῆφος. κατὰ κείσθω ἡ ἐκκλήτῳ, καὶ ξ' τὸ νόμον αὐαφέρεται, καὶ ἐξετάζεται. ἐαν δὲ ἀπὸ κελεύσεως ἢ προστάξεως δικαστῆ ἐπίσκοπος, ἢ ἔκκλητος τὴν ψῆφον αὐτῆ, ἐπὶ τὸ παρεμπέμψαντα τὴν κατάθεσιν αὐαπέμπει.

σχόλιον.

Η'. διάτ. τῆ δ'. πίτ. τ ά. βιβλίῳ ὃ κεῖται εἰς τὰ βασιλικὰ, ὃ δὲ ἡ κθ'. διάτ. τῆ αὐτῆ πίτ. ἡ β'. διάτ. τ ά. πίτ. τῶν νεαρῶν, ἔστ κεφ. λς'. τῆς ϛχυ'. νεαρᾶς ὅ ἐστιν ἐν βιβλίῳ γ'. τ βασιλικῶν πίτ. ά. κεφ. μδ'. καὶ φησι τὰ αὐτὰ ᾧ δὲ εἰς τὸ κείμενον συνῆψα ταῦτα. πάλιν ἐν τῷ τέλει τῆ αὐτῆ κεφ. φησὶν ἡ νεαρὰ τῶν τα, εἰ ὁ ἐκκλησιαστικὸν εἴη τὸ πρᾶγμα, μηδεμίαν κοινωνίαν ἐχέτω τὰν οἱ πολιτικοὶ ἄρχοντες πρὸς τὴν τοιαύτην ἐπὸ κεῖνται, ἀλλ' ἀ ἐσώτατοι ἐπίσκοποι κ' τὸν ἱερὸν κανόνας τῷ πράγματι πρέας ἐπιτιθέτωσαν, ἀνάγνωθι καὶ τὸ μέ. κεφ. τῆ ά. πίτ. τῆ γ'. βιβλίῳ τ βασιλικῶν μέρος ὂν τῆς ϛχυ'. Ἰουστινιανείου νεαρᾶς, καὶ λέγον τῶν τα, εἰ τινες ὁ ἐσώτατοι ἐπίσκοποι τῆς αὐτῆς συνόδου ἀμφισβητήσιν πρὸς ἀλλήλους ἔχοιεν, εἴτε ὑπὲρ ἐκκλησιαστικῆ δίκης, εἴτε ὑπὲρ ἄλλων τινῶν πράγματων, πρότερον ὁ μητροπολίτης αὐτῶν μεθ' ἑτέρων δύο ἐκ τ αὐτῆς συνόδου ἐπισκόπων τὸ πρᾶγμα κρινέτω, καὶ εἰ μὴ ἐμμένοιεν, ἐκάτερον μέρος τοῖς κεκριμένοις, τιμωρῶτα ὁ μακαριώτατος πατριάρχης τ διοικήσεως ἐκείνης μεταξὺ αὐτῶν ἀκροάζεσθω, καὶ κεῖνα δεχέσθω, ἅπερ τοῖς ἐκκλησιαστικοῖς κανόσι, καὶ τοῖς νόμοις συνάδει, ἀδενὸς μέρους κ' τ ψῆφον αὐτῆ ἀνατρέπειν δυναμένου, καὶ τὰ λεγόμενα.

κεφάλαιον ζ'.

Ε'αν ἐπίσκοπος ἔχων πρὸς συνεπίσκοπον, μὴ δικάσηται, ἀλλὰ χειρὶ πράξῃ, συνόδου Καρθαγένης κανὼν ιά.

κεφάλαιον η'.

Πότε δύναται ἐπίσκοπος κινεῖν ἐπισκόπῳ παρὰ ἄρχοντι πολιτικῷ, συνόδου Καρθαγένης κανὼν μη'.

κεφάλαιον θ'.

Περὶ τῶν ἀδίκως ἐκβαλλομένων ἐπισκόπων καὶ κληρικῶν, συνόδου Νικαίας τὸ β'. κανὼν δ'. συνόδου Σαρδικῆς ιδ'. ιη'. ιθ'.

κείμενον.

Ἡ κγ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος, δέχεται τὴν μνήμην Φλαβιανοῦ, καὶ ἐκβάλλει Εὐτυχέα. ἡ δὲ λη'. διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν ὅτι οὐδεῖ τοῦ ἐπισκόπους ἢ τοῦ κληρικοὺς ἀναγκάζειν τινὰς καρποφορεῖν, ἢ ἀγγαρείας διδόναι, ἢ ἐπηρεάζειν, ἢ ἀφορίζειν, ἢ μὴ βαπτίζειν, ἢ διδόναι κοινωνίαν διὰ ταῦτα κἂν ἔθος ἐκράτησεν. ὁ δὲ παραβαίνων, ἐκπίπτει τῆς ἐκκλησίας καὶ τῆς διοικήσεως αὐτῆς, καὶ δίδωσι ι'. λίτρας. ταῦτα δὲ κρατεῖν ἐν μόνῃ τῇ βασιλευούσῃ καὶ τῇ ἐνορίᾳ αὐτῆς. καὶ τοῖς ἀνήκουσι τόποις μητροπολίταις ὑπὸ τοῦ πατριάρχου χειροτονουμένοις, ἢ τοῖς ἐξ ἐκείνων γινομένοις ἐπισκόποις. καὶ ἡ β'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, φησὶν ὅτι ἐπίσκοπος ἢ πρεσβύτερος χωρὶς κανονικῆς αἰτίας ἀφορίζων τινὰ τῆς κοινωνίας, λυομένου τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως, αὐτὸς ἀκοινώνητος γίνεται ἐφ' ὅσον χρόνον ὁ ἱερεὺς ὑφ' ὃν τελεῖ συνεῖδεν.

σχόλιον.

Ἡ κγ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά, οὐδὲ ἡ λη'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ μὴ προσχῆς τούτοις. ἡ δὲ β'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιάνειος ρκγ'. καὶ κεῖται ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ. α'. κεφ. κδ'. οὕτως ἔχουσα, πᾶσι δὲ τοῖς ἐπισκόποις, ἢ καὶ πρεσβυτέροις ἀπαγορεύομεν μὴ ἀφορίζειν τινὰ τῆς ἁγίας κοινωνίας, πρὶν ἢ αἰτία δειχθῇ δι' ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο γενέσθαι κελεύουσιν, εἰ δέ τις παρὰ τῆς ἁγίας κοινωνίας τινὰ χωρίσῃ, ἐκεῖνος μὲν ὃς ἀδίκως ἀπὸ τῆς κοινωνίας ἐχωρίσθη, λυομένου τοῦ δεσμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως τῆς ἁγίας ἀξιούσθω κοινωνίας, ὁ δὲ ἀδίκως τινὰ τῆς ἁγίας κοινωνίας τολμήσας χωρίσαι πᾶσι τρόποις ὑπὸ τοῦ ἱερέως ὑφ' ὃν τέτακται χωρισθήσεται τῆς κοινωνίας ἐφ' ὅσον χρόνον συνίδῃ ἐκεῖνος, ἵνα ὅπερ ἀδίκως ἐποίησε, ἀδίκως ὑπομείνῃ.

κεφάλαιον ι'.

Περὶ τῶν ἀφοριζομένων, ἢ ἐκβαλλομένων τῆς ἐκκλησίας ἢ τῆς κοινωνίας, ἀποστόλων κανὼν ιβ'. ιγ'. λβ'. να'. συνόδου Νικαίας κανὼν ε'. ιβ'. ιγ'. συνόδου Ἀντιοχείας κανὼν ς'. συνόδου Λαοδικείας κανὼν λς'. συνόδου Χαλκηδόνος κανὼν δ'. ις'. συνόδου Σαρδικῆς κανὼν ι'. ιγ'. ιδ'. συνόδου Καρθαγένης κανὼν ξε'. συνόδου ς'. κανὼν κα'.

κείμενον.

Ἡ ιδ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου λέγει, ὅτι ὁ κατὰ δοκιμασίαν ἐπισκόπων ἐκβληθεὶς ἐπισκοπῆς, ἐάν τι ποιῇ παραχῶδες, καὶ θέλῃ ἐπιβῆναι τῇ αὐτῇ ἐπισκοπῇ, πόῤῥω τῆς πόλεως ρ'. μίλια ἐκβάλλεται. καὶ οὐκ ἔχει ἄδειαν προσιέναι βασιλεῖ ἢ λαμβάνειν ἀντίγραφον, ἀλλ' εἰ καὶ λάβῃ οὐκ ἀπολαύει. καὶ ὁ βοηθῶν αὐτῷ ἀγανακτεῖται. καὶ ἡ κγ'. διάτ. τοῦ αὐτοῦ τίτ. ἐκβάλλει Εὐτυχέα. καὶ ἡ ε'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν ἐκβάλλει Πέτρον, Ἄνθιμον, Σέβηρον, καὶ Ζωοσᾶν, ἀπειλοῦσα τοῖς ἔχουσι συγγράμματα Σεβήρου καὶ μὴ καίουσιν αὐτὰ, τοιναὶ ἑτέρας, καὶ χειρῶν ἀποκοπάς. ἡ δὲ β'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, φησὶν ὅτι ἐπίσκοπος κανονικῶς τῆς ἱερωσύνης ἐκπεσὼν, καὶ ἐπιβαίνων τῇ πόλει ἀφ' ἧς ἐξεβλήθη, ἢ καταλιμπάνων τὸν τόπον ἐν ᾧ διάγειν ἐκελεύσθη, μοναστηρίῳ ἄλλης ἐπαρχίας ἐμβάλλεται.

σχόλιον.

Ἡ ιδ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος, ἔστι βιβλίον γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. α'. καὶ λέγει τὰ αὐτά. ἡ κγ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. ἡ ε'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιάνειος μα'. τοῦτο δὲ αὐτῆς τὸ κεφ. οὐκ ἐτέθη εἰς τὰ βασιλικά. ἡ β'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, ἔστι νεαρὰ ἰουστινιάνειος ρκγ'. καὶ κεῖται ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. κς'. οὕτως ἔχοντι, εἴτις δὲ ἐπίσκοπος κατὰ τοὺς ἱεροὺς κανόνας τῆς ἱερωσύνης ἐκβληθεὶς τολμήσει ἐπιβῆναι τῆς πόλεως ἐξ ἧς ἐξεβλήθη, ἢ καταλιπεῖν τὸν τόπον ἐν ᾧ ἐκελεύσθη διάγειν, κελεύομεν τοῦτον μοναστηρίῳ ἐν ἄλλῃ ἐπαρχίᾳ καθεστῶτι παραδίδοσθαι.

κεφάλαιον ια'.

Ἐκ ποίων αἰτιῶν ἀφορίζεται ἐπίσκοπος, καὶ κληρικὸς, ἢ λαϊκὸς, καὶ ἐὰν ἐπίσκοπος κατηγορούμενος διὰ λιβέλλου παραιτεῖται τὴν ἐπισκοπὴν, καὶ ὅτι οὐδεῖ τὸν ἐπίσκοπον γενόμενον, ἐκβαλλόμενον εὐλόγως ἢ ἀλόγως εἰς πρεσβυτέρων κατάγεσθαι βαθμὸν, ἀποστόλων κανὼν ε'. η'. θ'. ι'. ια'. ιβ'. ιγ'. ιε'. ις'. κ'. κδ'. λ'. λς'. μγ'. με'. μη'. να'. νς'. νζ'. νη'. νθ'. ξε'. ξζ'. ο'. οα'. οβ'. ογ'. ος'. πδ'. συνόδου Χαλκηδόνος ἐξ τῆς πράξεως τῆς περὶ Φωτίου τοῦ ἐπισκόπου Τύρου, καὶ Εὐσταθίου ἐπισκόπου Βηρυτοῦ, συνόδου ς'. κανὼν η'. καὶ τὰ ἐν αὐτῷ λύοντα τὴν ἐναντιοφανείαν τῶν κανόνων, συνόδου Ἀγκύρας κανὼν ιη'. συνόδου Νεοκαισαρείας κανὼν α'. Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. α. γ'.

κεφάλαιον ιβ'.

Ὅτι ἐφ' ὅσον χρόνον ὁ ἐπίσκοπος οὐ κοινωνεῖ τῷ παρ' αὐτοῦ ἀφορισθέντι, οὔτε οἱ ἄλλοι ἐπίσκοποι κοινωνοῦσι τῷ ἀφορίσαντι, συνόδου Καρθαγένης κανὼν ρλγ'.

κεφάλαιον ιγ'.

Πόσοι ἐπίσκοποι καθαιρῶσιν ἐπίσκοπον, συνόδου Κωνσταντινουπόλεως τῆς κατὰ τοῦ ἐπισκόπους Ἀραβίας, τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν ιβ'. καὶ κ'. περὶ ιβ'. καὶ ς'. καὶ γ'. ἐπισκόπων.

κεφάλαιον ιδ'.

Ἐκ ποίων τις αἰτιῶν καθαιρεῖται, ἀποστόλων κανὼν γ'. ε'. ς'. ζ'. ια'. κ'. κγ'. κε'. κζ'. κθ'. λ'. λα'. λε'. μβ'. μδ'. με'. μς'. μζ'. μθ'. ν'. να'. νβ'. νγ'. νε'. νθ'. ξ'. ξβ'. ξγ'. ξδ'. ξε'. ξς'. ξη'. ξθ'. ο'. πα'. πγ'. πδ'. συνόδου Νικαίας κανὼν β'. ι'. ιζ'. συνόδου Ἀγκύρας κανὼν ι'. ιδ'. ιη'. συνόδου Νεοκαισαρείας κανὼν α'. συνόδου Ἀντιοχείας κανὼν α'. γ'. δ'. ε'. ιγ'. συνόδου Ἐφέσου κανὼν β'. συνόδου Χαλκηδόνος κανὼν β'. ιη'. κζ'. συνόδου Σαρδικῆς κανὼν κα'. συνόδου ς'. κανὼν γ'. δ'. ε'. θ'. ια'. πς'. ϛζ'. Βασιλείου κανὼν ο'.

κεφάλαιον ιε'.

Ἐκ ποίων τις αἰτιῶν ἐν τῷ αὐτῷ καὶ ἀφορίζεται, καὶ καθαιρεῖται, ἢ καθαιρεῖται, καὶ τῆς κοινωνίας ἢ τῆς ἐκκλησίας ἐκκόπτεται, ἀποστόλων κανὼν κε'. κθ'. λ'. ξε'.

κεφάλαιον ις'.

Ἐκ ποίων αἰτιῶν κληρικὸς ἢ λαϊκὸς ἀναθεματίζεται, συνόδου Γαγγρῶν κανὼν ιη'. συνόδου Χαλκηδόνος κανὼν β'. ζ'. Βασιλείου ἐκ τῆς πρὸς Γρηγόριον πρεσβύτερον ἐπιστολῆς.

κεφάλαιον ιζ'.

Ὅτι οὐδεῖ δὶς ἐκδικεῖν ἐπὶ τὸ αὐτὸ, ἀποστόλων κανὼν κε'. Βασιλείου κγ'. λβ'. να'.

κεφάλαιον ιη'.

Ἐκ ποίων τις αἰτιῶν τελείως ἐκβάλλεται, ἀποστόλων κανὼν κη'. να'. ξβ'. συνόδου Ἀντιοχείας κανὼν δ'. συνόδου Λαοδικείας κανὼν λς'. συνόδου ς'. κανὼν κα'.

κεφάλαιον ιθ'.

Πότε τὶς καθέδρας μὲν ἢ στάσεως ἱερατικῆς μετέχει, οὐκ ἐνεργεῖ δέ τι τῶν λοιπῶν, συνόδου Ἀγκύρας κανὼν α'. β'. συνόδου Νεοκαισαρείας κανὼν θ'. συνόδου ς'. κανὼν γ'. κς'. Βασιλείου κανὼν κζ'. ο'.

κεφάλαιον κ'.

Περὶ τοῦ μὴ πιστεύεσθαι τὸν ἐπίσκοπον λέγοντα ἰδιαζόντως αὐτῷ τὸν κληρικὸν συνομολογῆσαι τὸ ἁμάρτημα, συνόδου Καρθαγένης κανὼν ρλβ'.

κεφάλαιον κα'.

Περὶ ἐπισκόπου ἢ κληρικοῦ ἐσθίοντος κρέα ἐν αἵματι, ἢ θηριάλω-

τον ἢ θνησιμαῖον, ἀποστόλων κανὼν ξγ'. συνόδου Ἀγκύρας κανὼν γ', συνόδου ς'. κανὼν ξζ'.

κεφάλαιον. κβ'.

Περὶ τοῦ τοῦ ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους, καὶ πάντας τοῦ τὰ ἱερὰ ψηλαφῶντας, ὀφείλειν ἀπέχεσθαι τῶν οἰκείων γαμετῶν, συνόδου Καρθαγένης κανὼν γ'. δ'. κε'. ο'. συνόδου ς'. κανὼν ιβ'. ιγ'.

κεφάλαιον κγ'.

Περὶ κληρικοῦ χλευάζοντος τοῦ ἀσθενεῖς, ἀποστόλων κανὼν πεντηκοστὸς ἕβδομος.

κεφάλαιον κδ'.

Περὶ κληρικοῦ ἑαυτὸν ἀκρωτηριάζοντος, ἀποστόλων κανὼν κγ'. συνόδου Νικαίας κανὼν α'. συνόδου α'. καὶ β'. ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανὼν η'. ἀνάγνωθι ἀνωτέρω τὰ παραγεγραμμένα ἐν τῷ ιδ'. κεφ. τοῦ α'. τίτ. τοῦ παρόντος συντάγματος.

κεφάλαιον κε'.

Περὶ κληρικῶν ἀποστατῶν, καὶ θυτῶν, καὶ μάγων, καὶ ἐπαοιδῶν, καὶ ἀστρολόγων, καὶ μαθηματικῶν, καὶ περὶ μαντειῶν, καὶ φαρμακειῶν, καὶ περιάπτων, ἀποστόλων κανὼν ξβ'. συνόδου Ἀγκύρας κανὼν α'. β'. συνόδου Λαοδικείας κανὼν λς'. τοῦ ἁγίου Βασιλείου κανὼν ογ'.

κείμενον.

Εἴρηται βιβλίῳ ε'. ξ καὶ δίκης τίτ. ὁ Διατ. δ'. ὅτι ἐὰν γυνὴ μάνη αὐτεξουσία ᾖσα, μόνος ὁ ἀνὴρ δύναται πέμπειν ῥεπτόδιον. ἐν ᾗ τῷ κβ. Διατάγματι ξ γ'. τίτ. ξ κοδ'. βιβλίῳ φησὶν ἐὰν ὁ εἰς τὸ συνοικούτων μανῇ, αὐτὸς μὲν ὁ δύναται σέλλειν διέπον. εἰ δὲ φορητὴ ἐστὶν ἡ μανία, εἴτε διλυκὴς, εἴτε ὁκ Διαλειμμάτων οὐκ ὀφείλει ὁ νήφων τὸ μαινομένῳ σέλλειν Διαζύγιον. εἰ δὲ σείλῃ ὑποπίπτει τοῖς ὑπατικοῖς τῆς ἀλόγου Διαζυξίως. εἰ δὲ αὐύπνιστός ἐστιν ἡ μανία, καὶ οὐκ ἔστιν ἐλπὶς ἀνανήψεως, ἔξεστι Διὰ τὸν ἐντεῦθεν φόβον, καὶ τὴν ὑπάτυμίαν ξ παιδοποιῆσαι ῥᾳστώνῃ λύειν τὸν γάμον, εἰ μέντοι μὴ λύει τὸν γάμον, ἀλλὰ φειφρονεῖ αὐτὸν, ἀναγκάζεται Διὰ ἄρχοντος τρέφειν αὐτὴν, καὶ φροντίζειν τῆς ἰατρείας αὐτῆς καὶ μηδὲν παρελείπειν τῶν αὐτῇ πρεπόντων, πρὸς τὸ ποσὸν τῆς προικός. εἰ δὲ σκορπίζει τὴν προῖκα, μεσεγγυᾶται ἐφ ᾧ τὴν γυναῖκα καὶ τὴν Φαμιλίαν αὐτῆς ἀξίαν ἔχειν ἐντεῦθεν παραμυθίαν, Φυλαττομένων τῶν ἐξ ἀρχῆς συμφώνων. ἀλλὰ ταῦτα σήμερον ὁ παραβαίνει, ὅτε Διὰ μανίαν δικαίως λύεται γάμος, τῆς πρὸ ῥεπτόδιον ῥιζ'. νεαρᾶς ῥητὰς αἰτίας λεγούσης, καὶ ὑποκαλλούσης τὸ παρ' αὐτὰς σέλλοντα ῥεπτόδιον, τῇ ἐκπιώσει τῶν γαμικῶν ὑποδόσεων, καὶ ἄλλοις ὑπατικοῖς.

σχόλιον.

Διεστόν ἐστι φθόγγος μουσικὸς ὅτω λεγόμενος παρὰ φιλοσόφοις καὶ χωρίζων τὸν διὰ πασῶν ἁρμονίαν διέ ὃ καὶ διέχει ἀκριβῶς, τὸ νῦν ὁμοζύγων μιᾶς ἁρμονίας τόπον ἐπεχόντων, ἔσονται γὰρ φασὶν εἰς σάρκα μίαν ἐὰν ᾖ σύνδρομον αἰτίας ὁποσδήποτε διάστασις καὶ χωρισμὸς γίνεται μεσον αὐτῶν λέγομεν γίνεσθαι διέσιον ὅσῳ ὅπου τῶν μουσικῶν χώραν ἔχει κωφὸς ἀλλὰ διαζύγιον, μήπω γὰρ γεγαμήκου γάμου καὶ σωαφείας, καὶ δεκῶσι σωαφθῶσιν οἱ μουσικοὶ, ἀλλὰ τοῖς σώμασι κεχωρισμένοι εἰσὶν ὡς τὰ ὑπὸ τὴν ζυγὸν ὄντα ζῶα· πλὴν ἤρεσε τοῖς νομοθέταις ἀδιαφόρως καὶ ὅπου τὸ ὁμοζύγων τὸ διαζύγιον λέγεσθαι ὅσῳ ὠνόμασεν παρὰ λατίνοις ῥεπτόδιον. καὶ ἀνάγνωθι βιβλίου β'. τίτ. ς'. κεφ. ρϛ'. καὶ δ'.

διάτ. τοῦ ο΄. πίτ. τοῦ ε΄. βιβλίου τοῦ κώδικος, ἔστι κεφ. κα΄. τοῦ ι΄. πίτ. τοῦ λη΄. βιβλίου τὰ αὐτὰ λέγον ὅσα εἰς τὸ κείμενον ἐγράφησαν. τὸ κβ΄. διάτ. τοῦ γ΄. πίτ. τοῦ κδ΄. βιβλίου τῶν διατ. ἔστι θέμα θ΄. κβ΄. κεφ. τοῦ η΄. πίτ. τοῦ κη΄, βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ὡς εἰς τὸ κείμενον ἐγράφησαν. πλὴν γίνωσκε ὅτι τὸ τοιοῦτον κεφ. ἀνῃρέθη ὑπὸ τῆς ριζ΄. ἰουστινιανείου νεαρᾶς τῆς κειμένης ἐν βιβλίῳ κη΄. τῶν βασιλικῶν πίτ. ζ΄. καὶ λεγούσης τὰς αἰτίας δι' ἃς ῥεπούδιον πέμπεται, τῆς δὲ μανίας ὅλως μὴ ἐπιμνησθείσης. ἡ μέντοι ρ΄. καὶ ρα΄. νεαρὰ τοῦ βασιλέως κυρίου Λέοντος τοῦ σοφοῦ διορίζονται τὴν μὲν ἄνδρα καρτερεῖν ἐπὶ τριετίᾳ καὶ ἐντὸς ταύτης μὴ διαλύειν τὴν μετὰ γυναικὸς αὐτοῦ μανείσης συζυγίαν, τὴν δὲ γυναῖκα μὴ διαζεύγνυσθαι τοῦ μανέντος ἀνδρὸς αὐτῆς εἰ μὴ παρέλθῃ πενταετία. ἀνάγνωθι καὶ τὴν νεαρὰν τοῦ βασιλέως κυρίου Νικηφόρου Βοτανειάτου.

κεφάλαιον λα΄.

Περὶ λαϊκοῦ ἀφορισθέντος, καὶ δεχθέντος ἐξ ἑτέρου παρὰ γνώμην τοῦ ἀφορίσαντος, ἀποστόλων κανὼν ιβ΄. ιγ΄ συνόδου Ἀντιοχείας κανὼν ς΄.

κεφάλαιον. λβ΄.

Περὶ τῶν ἐν κυριακῇ ἢ σαββάτῳ νηστευόντων, ἀποστόλων κανὼν ξς΄. συνόδου Γαγγρῶν κανὼν ιη΄. συνόδου ς΄. κανὼν νε΄. νς΄.

κεφάλαιον λγ΄.

Περὶ τῶν διδασκόντων τὴν οἶκον τοῦ θεοῦ, καὶ τὰς συνάξεις εὐκαταφρονήτους, συνόδου Γαγγρῶν κανὼν ε΄. κ΄.

κεφάλαιον λδ΄.

Περὶ λαϊκῶν πειρωμένων ἀθετεῖν τὰ τῆς ἐν Ἐφέσῳ συνόδου, συνόδου Ἐφέσου κανὼν ς΄. ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ ς΄. κεφ. τοῦ ια΄. πίτ. τοῦ παρόντος συντάγματος.

κεφάλαιον λε΄.

Περὶ τῶν ἀκροωμένων τῶν γραφῶν, καὶ μέχρι τέλους μὴ προσκαρτερούντων, ἢ μὴ κοινωνούντων, ἀποστόλων κανὼν θ΄. συνόδου Ἀντιοχείας κανὼν β΄.

κεφάλαιον λς΄.

Περὶ τῶν ἰδίᾳ ἐκκλησιαζόντων, συνόδου Γάγγρας κανὼν ς΄. συνόδου ς΄. κανὼν λα΄. νθ΄. ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιδ΄. κεφ. τοῦ γ΄. πίτ. τοῦ παρόντος συντάγματος.

κεφάλαιον λζ΄.

Περὶ τοῦ ἐπιθυμήσαντος συγκαθευδῆσαι γυναικὶ καὶ μὴ πράξαντος, συνόδου Νεοκαισαρείας κανὼν δ΄.

κεφάλαιον λη΄.

Περὶ μὴ νηστευόντων τὴν τεσσαρακοστὴν καὶ τετράδα παρασκευὴν,

ἀποστόλων

ἀποστόλων κανὼν ξθ.

κεφάλαιον λθ΄.

Περὶ τῶν ἀφαιρουμένων τῆς ἐκκλησίας κηρὸν ἢ ἔλαιον, ἀποστόλων κανὼν οβ΄.

κεφάλαιον μ΄.

Περὶ λαϊκῶν ἀκοινωνήτων γινομένων, Θεοφίλου ἐκ τῆς πρὸς Μηνᾶν ἐπίσκοπον ἐπιστολῆς.

κεφάλαιον μα΄.

Περὶ τοῦ μὴ διδάσκειν λαϊκοὺς, συνόδου ς΄. κανὼν ξδ΄.

ΤΙΤΛΟΣ ΙΔ.

ΠΕΡΙ ΚΟΙΝΩΝ ΠΑΝΤΩΝ ΑΝΘΡΩΠΩΝ.

κεφάλαιον α΄.

Περὶ πλεονεξίας, Γρηγορίου Νύσσης κανὼν ς΄.

κεφάλαιον β΄.

Περὶ ἀλογευομένων, συνόδου Ἀγκύρας κανὼν ις΄. ιζ΄. Βασιλείου κανὼν ξγ΄. Γρηγορίου Νύσσης κανὼν γ΄.

κεφάλαιον γ΄.

Περὶ φονέων, καὶ λῃστῶν, ἀποστόλων κανὼν ξς΄. συνόδου Ἀγκύρας κανὼν κα΄. κβ΄. κγ΄. κε΄. Βασιλείου κανὼν ζ΄. η΄. ια΄. ιγ΄. λγ΄. μγ΄. νβ΄. νδ΄. νε΄. νς΄. νζ΄. Γρηγορίου Νύσσης κανὼν δ΄.

κεφάλαιον δ΄.

Περὶ τοῦ σοῦ ἐπιτίμιον ἀκοινωνησίας ἔχοντας ὀφείλειν κοινωνεῖν μέλλοντας τελευτᾶν, καὶ τί γίνεται ἐὰν διὰ τοῦτο μεταλαβόντες μὴ ἀποθάνωσι, συνόδου Νικαίας κανὼν ιγ΄. Γρηγορίου Νύσσης κανὼν ε΄.

κεφάλαιον ε΄.

Περὶ τοῦ ὀνειρασθέντος ἢ ἀπὸ κοίτης τῆς ἰδίας γαμετῆς ὄντος καὶ θέλοντος κοινωνῆσαι, καὶ ποίας ἡμέρας δεῖ τῆς πρὸς ἀλλήλους μίξεως διὰ τοῦτο ἀπέχεσθαι, Διονουσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κανὼν γ΄. δ΄. Τιμοθέου κανὼν ε΄. ιβ΄. ιγ΄.

κεφάλαιον ϛ'.

Πῶς γίνεται προσφορὰ ὑπὲρ τοῦ ἑαυτὸν ἀνελόντος, Τιμοθέου κανὼν ιδ'.

κεφάλαιον ζ'.

Περὶ τοῦ ἔχοντος γαμετὴν δαιμονιζομένην καὶ διὰ τοῦτο θέλοντος ἄλλην λαβεῖν, Τιμοθέου κανὼν ιε'.

σχόλιον.

Περὶ τοῦ παρόντος κεφ. ἐγράψαμεν ἀρκούντως ἐν τῷ λ'. κεφ. τοῦ ιγ'. τίτ. τοῦ παρόντος συντάγματος, καὶ ἀνάγνωθι τὰς εἰς τὸ σχόλιον τοῦτο συνωψισθείσας νεαρὰς τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου, καὶ κατ' ἐκείνας λέγε τὰ τῶν δαιμονώντων γίνεσθαι διαζύγια.

ΦΩΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΌΛΕΩΣ, ἘΚ ΤΗ̃Σ ΠΡΌΣ ΜΙΧΑΗ̃λον τὸν ἄρχοντα Βουλγαρίας ἐπιστολῆς περὶ τῶν ζ'. οἰκουμενικῶν συνόδων.

ΠΡΏΤΗ ΣΎΝΟΔΟΣ.

Ἡ πρώτη καὶ οἰκουμενικὴ ἁγία σύνοδος ἐν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ συνεκροτήθη ιθ'. καὶ τριακοσίων θείων ἀρχιερέων ὁμήγυρις τὴν τῆς ἀληθείας κρίσιν ἐνεχειρίζοντο, ὧν ἦσαν προέχοντες Ἀλέξανδρός τε ὁ τὸν τῆς Κωνσταντινουπόλεως ἀρχιερατικὸν θρόνον λαχὼν διϊθύνειν, ... βαθείᾳ μὲν πολιᾷ, παραπλησίῳ δὲ φρονήματι σεμνυνόμενος, βίου δὲ λαμπρότητι καὶ ὁσιότητι γνώμης καὶ πίστεως ἀκριβείᾳ τὴν εἰς τὸ θεῖον παῤῥησίαν πολλὴν οἰκειούμενος, καὶ δὴ καὶ Σίλβεστρος καὶ Ἰούλιος τῆς ῥωμαϊκῆς ἐκκλησίας ἐπίσημοί τε καὶ διαβόητοι πρόεδροι. αὐτῶν μὲν οὐδέτερος παραγεγονὼς, Βίτωνα δὲ καὶ Βικέντιον ἑκάτερος ἀνθ' ἑαυτοῦ κατὰ τὸ οἰκεῖον τῆς ἀρχιερατείας χρόνον τῇ κοινῇ παρεῖναι συνελεύσει προβαλλόμενος ἀνθρώπους ἀρετὴν τιμῶντας, καὶ εἰς τὸ τοῦ πρεσβυτερίου ἀξίωμα παραγγέλλοντας· οἷς καὶ ὁ Κουδούβρης ἐπίσκοπος συνετέτακτο, ὃς κατὰ τοὺς ἑλληνικοὺς διωγμοὺς τὴν κλῆσιν ἐπαληθεύουσαν ἔδειξεν· ὅσιος γὰρ ὀνομαζόμενος ἀβέβηλον αὐτοῦ τὴν ὁμολογίαν τῆς εἰδωλολατρείας διετήρησεν. ὁ μέντοι Ἀλεξανδρείας Ἀλέξανδρος αὐτός τε παρὴν ἱεροῖς ἐνδιαπρέπων κατορθώμασιν. ἦγε δὲ συναγωνιστὴν ἑαυτῷ καὶ Ἀθανάσιον, ὃς τότε μὲν τοῦ τάγματος τῶν διακόνων ἡγεῖτο, μετ' οὐ πολὺ δὲ καὶ τοῦ ἀρχιερατικοῦ θρόνου κατέστη διάδοχος. ναὶ δὴ καὶ ὁ κλεινὸς Εὐστάθιος συμπαρὴν τῆς Ἀντιοχέων ἐκκλησίας τὸ ἐγκαλλώπισμα πίστεως μὲν ἐναστράπτων, καθαρότητι λόγων δὲ καὶ νοημάτων φροσύνῃ θαυμαζόμενος· μεθ' ὧν καὶ ὁ Ἱεροσολύμων Μακάριος,

πολλαῖς ἰδίαις ἀρετῶν ἐνευθυνόμενος, ἄλλοι τε πλεῖστοι ἀποστολικοῖς χαρίσμασι καὶ μαρτυρικοῖς πάθεσι διαλάμποντες, ὧν Παφνούτιος καὶ Σπυρίδων, Ἰάκωβός τε καὶ Μάξιμος ἀγαθοῦ καὶ θαυμάσιου συστήματος ἀγαθοὶ καὶ θαυμάσιοι προστάται ἐγνωρίζοντο. ἐφ' οἷς ἅπασι καὶ ὁ μέγας ἐξάγιστος Κωνσταντῖνος τῆς ῥωμαϊκῆς ἀρχῆς διϊθύνων τὰ σκῆπτρα διέπρεπεν τήν τε σύνοδον ἀθροΐζων καὶ λαμπροτέραν τῇ παρουσίᾳ ἀπεργαζόμενος. ἀλλ' ἐκ τοσούτων μὲν καὶ τοιούτων ὁ ἱερὸς ἐκεῖνος συνίστατο σύλλογος. Ἄρειόν τινα νεωτεροποιὸν δυσσεβείας δίκας εἰσπραττόμενοι καὶ τὸ ἀποστολικὸν καὶ θεῖον κρατύναντες κήρυγμα. ἦν δὲ οὗτος ὁ δείλαιος ἕλκων μὲν τὸ γένος ἐκ τῆς Ἀλεξάνδρου, εἰς κλῆρον δὲ καταλεγεὶς τῆς ἐκεῖσε ἐκκλησίας καὶ εἰς πρεσβυτέρου βαθμὸν ἀνελθὼν, πρότερον μὲν κατὰ τοῦ ἰδίου ποιμένος ὑπερήφανον ἀνέλαβε φρόνημα, ἐκεῖθεν δὲ κατὰ τοῦ κοινοῦ ποιμένος καὶ δεσπότου παρέτεινε τὴν ἀπόνοιαν. τὸν γὰρ υἱὸν καὶ λόγον τοῦ θεοῦ, ᾧ τολμηρᾶς ἐκείνης καὶ γλώττης καὶ διανοίας εἰς κτίσμα καὶ ποίημα κατεβίβαζεν. οὐδὲ τοῦτο συνιδεῖν ἐθέλων, κοινὸν ὑπάρχον πᾶσι καὶ αὐτοδίδακτον ὁμολόγημα, ὡς ἅπας υἱὸς τῆς αὐτῆς ἐστι τῷ γεγεννηκότι καὶ οὐσίας καὶ φύσεως, καὶ ὁ τὸν υἱὸν τάττων ἐν κτίσμασι, καὶ τὸν πατέρα κτίσμα, προσανηγόρευσεν. ὥσπερ ὁ τὸν πατέρα δημιουργικῆς οὐσίας καὶ ἀϊδίου φύσεως ὁμολογῶν τῆς αὐτῆς εἶναι καὶ τὸν υἱὸν συνομολογήσειε. πῶς δὲ ἂν εἴη τὸ γνήσιον τῆς υἱότητος, ἄλλης μὲν οὐσίας τοῦ πατρὸς, ἑτέρας δὲ τοῦ υἱοῦ χρηματίζοντες, πῶς δὲ οὐ τῆς ἑλληνικῆς πλάνης ἀνακύψει τὸ πολύθεον εἰς ἐλλάττω καὶ μείζω οὐσίαν τεμνομένης τῆς θεότητος καὶ τῆς μὲν εἰς πρῶτον καὶ δημιουργὸν καὶ πρεσβύτερον θεὸν ἀφοριζομένης, τῆς δὲ εἰς δεύτερον θεὸν διακρινομένης καὶ ὑπουργὸν, καὶ νεώτερον. ταῦτα γὰρ τὰ τῆς Ἀρείου πονηρᾶς σπορᾶς τὰ γεννήματα. ἀλλὰ τοῦτον μὲν ὡς χείλη βλάσφημα κατὰ τοῦ πεποιηκότος ὁπλισάμενον τῆς ἱερωσύνης ὁ ἱερὸς ἀπεγύμνωσε σύλλογος, τὴν δὲ δυσσεβεστάτην καὶ θεόμαχον αὐτοῦ αἵρεσιν τῷ ἀναθέματι καθυπέβαλεν, ὁμούσιον καὶ ὁμοφυῆ καὶ συναΐδιον τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ τῷ γεγεννηκότι πατρὶ, καὶ τῆς αὐτῆς ἐξουσίας καὶ κυριότητος, ὡς οἱ θεῖοι χρησμοὶ, καὶ τῶν εὐσεβείας τὰ κοινὰ δόγματα ἱερολογήσαντες διετράνωσαν, καλῶς εἰδότες ὅτι ὥσπερ τὸ εἰς ἓν συγκλείειν πρόσωπον τὴν τριαδικὴν μοναρχίαν καὶ κυριότητα ἰουδαϊκόν ἐστι καὶ μισόχριστον, οὕτω καὶ τὸ κατατέμνειν εἰς ἀνίσους φύσεις τὴν ὑπερούσιον καὶ ὑπερφυῆ καὶ ἑνιαίαν θεότητα ἑλληνικὸν ὑπάρχει καὶ πολύθεον. ἀλλὰ ἐν τούτοις μὲν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ πρώτη.

ΔΕΥΤΕΡΑ ΣΥΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος τῶν μὲν ἱερῶν φροντισμάτων τὴν βασιλίδα πόλιν, ἱερὸν ἐδείκνυ φροντιστήριον εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱεροὺς συνηγείρετο, ἐξάρχους ἔχουσα Τιμόθεόν τε τὸν Ἀλεξανδρείας, καὶ τὸν ἀξιοθαύμαστον τῆς Ἀντιοχείας Μελέτιον, Κύριλλόν τε τῶν Ἱεροσολύμων, οὗτοι ἱεροὺς θρόνους ἰθύνοντας, καὶ δὴ καὶ Νεκτάριον, ὃς ἄρτι τῆς κατηχουμένων ἀγέλης ἀφορισθεὶς καὶ τῷ λούτρῳ θείῳ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη τὸ καθαρώτατον τῆς ἀρχιεραρχίας ἀξίωμα περιβάλλεται ψήφῳ μὲν κοινῇ τῆς συνόδου, χειροθεσίᾳ δὲ τῶν προκέλτων καὶ ἅμα τε βασιλευούσης ἐπισκοπῆς, καὶ τῆς συνόδου ἐχρημάτιζεν ἔξαρχος, μεθ' ὧν Γρηγόριος, ὅτι τῆς ἐν Καππαδοκίᾳ Νύσης ἐπίσκοπος, καὶ ὁ τῆς θεολογίας ἐξ ἔργων ἐπώνυμος, οἷς οὐ πολὺς χρόνος καὶ Δάμασος ὁ τῆς Ῥώμης τὰ αὐτὰ κρατύνων ἐγνωρίζετο σύμφωνος τοῖς προλαβοῦσι καθισταμένους· οὗτος δὴ ὁ ἱεροφάντης χορὸς Μακεδόνιόν τινα τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἅρπαγμα πάλαι ποιησάμενον, ὅτι τὸ πανάγιον, καὶ ζωαρχικὸν ἐδυσφήμει πνεῦμα, εὐθύνας ἐδικαίου· ... ὡς γὰρ Ἄρειος κατὰ τοῦ υἱοῦ οὕτω καὶ αὐτὸς κατὰ τοῦ πνεύματος παρατατόμενος εἰς δούλους καὶ ὑπηρέτας, καὶ τὸν δεσποτικὴν καὶ τὸν ὑπερκειμένην αὐτοῦ συνέταττε κυριότητα, καίτοι ῥᾷον ἦν τῷ ἀθλίῳ, εἴπερ ἐβούλετο, συνορᾷν, ὅτι καθάπερ οἱ τὸν υἱὸν εἰς κτίσμα τάττοντες, τὴν ὕβριν οὐδὲν ἧττον τῷ πατρὶ προσάπτουσι, οὕτω καὶ οἱ τὸ πανάγιον αὐτοῦ πνεῦμα τοῖς ποιήμασι συναριθμοῦντες, τὴν ἴσην καὶ ὁμοίαν βλασφημίαν ἀφιᾶσι κατ' αὐτοῦ. εἰ γὰρ τὸ πνεῦμα κτίσμα, κἀκεῖνος οὗ τὸ πνεῦμα μετὰ τῶν κτισμάτων. οὐδὲ καὶ ἀκοαῖς ἀφόρητος ἡ τῆς ἀθεότητος ταύτης ὑπερβολὴ, πῶς οὐ συνῆκεν ὁ Ταλαίπωρος ἐκεῖνο φυγεῖν, δι' οὗ πρὸς τούτου ἀνάγκη πεσεῖν τοῦ θεομάχους λογισμοὺς, ἀτεθῆσαι τὸ πνεῦμα εἶναι θεόν. πῶς γὰρ ἐρευνᾷ καὶ τὰ βάθη τοῦ θεοῦ; καὶ οὐδὲν κρύφιον ἀπ' αὐτοῦ; πῶς ἐστὶν ἄλλος παράκλητος; πῶς συντάσσεται πατρὶ καὶ υἱῷ; πορευθέντες γὰρ, φησὶν αὐτὸς ὁ υἱὸς, μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. εἰ εἰς ἓν τῶν τριῶν κτίσμα φωτιζόμεθα, οὐδὲ τὰ λοιπὰ καθαρεύει τῆς ὕβρεως. ἀλλ' εἰ κτίσμα, πῶς κτίζει; πῶς ἁγιάζει; πῶς ζωοποιεῖ; πῶς διαιρεῖ χαρίσματα; πῶς δὲ θεός; ἀλλὰ τούτων οὐδὲν ἐκεῖνος ὁ φρενοβλαβὴς ἐπὶ νοῦν θέμενος, τῆς μοναρχικῆς αὐτὸ καὶ μιᾶς ἀδιαιρέτου θεότητος διασπᾶν ἐτόλμα, καὶ ἐπεθρασύνατο. διὸ καὶ τῆς ἀσεβείας ἐπάξια εἴληφε τὰ ἐπίχειρα,

αὐτός τε ἀφαιρέσει τῆς ἱερωσύνης ζημιούμενος καὶ πάντες ὅσοι τῆς αὐτοῦ θεομαχίας τὸ ἀνίατον παρεζήλωσαν, καὶ ὡς ἐκεῖνος τὸ πανάγιον πνεῦμα τῆς τριαδικῆς μιᾶς θεότητός τε καὶ κυριότητος ἀλλοτριοῦν ἐφρυάττετο, οὕτως αὐτὸν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ τῆς ἱερωσύνης, καὶ τῆς τῶν πιστῶν μερίδος, οἷα δεύτερον ἠλλοτρίωσαν Ἄρειον· τὸ δὲ πανάγιον καὶ παντοδύναμον, ἅτε δὴ ὁμοφυές τε καὶ ὁμοούσιον, ἰσοσθενές τε καὶ παντοδύναμον τῷ πατρὶ καὶ τῷ υἱῷ συμπροσκυνεῖσθαι καὶ συνδοξολογεῖσθαι κατὰ τὰς πατρικάς τε καὶ θεολογικὰς φωνὰς ἀνεκήρυξεν, ἐκθερίσαντες τέλεον, καὶ εἴ τι τῆς Ἀρειανῶν σπορᾶς ζιζάνιον ὑπεφύετο. τηνικαῦτα δὲ τὰς τῆς βασιλείας ἠνίας ὁ μέγας ὡς ἀληθῶς καὶ μεγάλης Εὐφημίας ἄξιος περιεζώννυτο Θεοδόσιος πρόμαχος καὶ αὐτὸς τῆς εὐσεβείας γνωριζόμενος. ἀλλ' ἐν τούτοις μὲν καὶ αὕτη ἡ ἁγία σύνοδος.

ΤΡΊΤΗ ΣΥ'ΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος ἐν μὲν τῇ κατὰ τὴν Ἀσίαν Ἐφέσῳ συνεκροτήθη, εἰς διακοσίους δὲ ἐπληθύνετο. ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο Κύριλλός τε ὁ ἐν πατράσι περιώνυμος ὃς δι' ἀρετὴν καὶ σοφίας πλοῦτον τῆς Ἀλεξάνδρου μεγαλοπόλεως ἰθύνων τὸν θρόνον, καὶ τοῦ Ῥώμης Κελεστίνου ἐπλήρου τὴν καθέδραν καὶ τὸ πρόσωπον, μεθ' ὧν καὶ Μέμνων ὁ τῆς ἐκκλησίας Ἐφεσίων ἐμπεπιστευμένος τοὺς οἴακας, καὶ δὴ καὶ ὁ τῶν Ἱεροσολύμων Ἰουβενάλιος. οἵ τινες σὺν παντὶ τῷ τῆς συνόδου πληρώματι τὸν δυσσεβῆ Νεστόριον, ὧν ἠσέβει, δίκας εἰσεπράττοντο ὃς ἐκ τῆς Ἀντιόχου τῆς πρὸς τῷ Ὀρόντῃ ὁρμώμενος τὸν τῆς Κωνσταντινουπόλεως θρόνον οὐκ εὐαγῶς ἐνεκεχείρητο. ἀλλὰ ὅγε ταλαίπωρος οὗτος ἐκ τῶν Διοδώρου καὶ Θεοδώρου θολερῶν τῆς ἀσεβείας ἐκροφήσας ναμάτων καὶ εἰς φρενῶν μέθην ἐμπεσὼν ἀπηχεῖς καὶ ἐκτόπους φωνὰς ἐπὶ λύμῃ τοῦ ποιμνίου πολλῶν ἀκοαῖς ἐναπηρεύξατο. Χριστὸν γὰρ τὸν ἕνα υἱὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν, ὃς δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὸς ἡμῖν παραπλησίως κοινωνήσας καὶ αἵματος, καὶ εἰς ἑαυτὸν τὸ ἡμέτερον ὑποστησάμενος φύραμα εἷς ἐκ δύο ἐχρημάτισε τῶν ἐναντίων, θεὸς ὁ αὐτὸς ὑπάρχων, καὶ ἄνθρωπος, εἷς χριστὸς, εἷς υἱὸς, ὁ αὐτὸς ἄνω ἐκ πατρὸς ἀμήτωρ, καὶ κάτω ἐκ μητρὸς ἀπάτωρ, ὁ αὐτὸς καὶ οὐκ ἄλλος, ἓν πρόσωπον, μία ὑπόστασις. τοῦτον δὴ τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν εἰς δύο τέμνειν καὶ διαιρεῖν ὑποστάσεις ὁ τριάθλιος ἐκεῖνος οὐ πεφρικὼς τὸν μὲν ψιλὸν ἄνθρωπον καὶ χωρὶς τοῦ προσλαβόντος λόγου κατ' ἰδίαν ὑπόστασιν ἔπλαττε· τὸν δὲ θεὸν ἀνὰ μέρος καὶ γυμνὸν τοῦ προσλήμματος, ὥσπερ δεδοικὼς, ὁ ἀνόητος μήτι θεὸς πάθοι, τὸ οἰκεῖον πλάσμα δι'

ἄφατον φιλανθρωπίαν εἰς θεραπείαν καὶ ἀνάπλασιν ὑποδυόμενος. οὐδὲ τοῦτο συνιδὼν, ὡς οἷς τὴν ἀνθρωπίνην φύσιν τὴν τοῦ λόγου ἐδίχαζεν ὑποστάσεως ἀνίατον αὐτὴν καὶ ἀθεράπευτον ἀνεκήρυττε, καὶ τῆς ἰδίας ἔξαρνος σωτηρίας ἐγίνετο· ἀλλὰ γὰρ τοὺς λογισμοὺς ὅλως ἐκ τούτων διαστραφεὶς οὐδὲ τὴν αὐτοῦ κατὰ σάρκα μητέρα τὴν παναγίαν παρθένον τὴν κυρίως καὶ ἀληθῶς τὸν θεὸν λόγον σεσαρκωμένον τεκοῦσαν, οὐδὲ ταύτην καλεῖν θεοτόκον ἠνέσχετο. ἀλλὰ ὥσπερ τὸν υἱὸν ἀπεστέρει τῆς θεότητος οὕτως ἠλλοτρίου καὶ τὴν γεννησαμένην τῆς θεοτόκου κλήσεως. διὸ τοῦτον ἀξίως τῆς τηλικαύτης ἀπονοίας καὶ τῆς βλασφήμου γλώσσης τῶν μακαρίων πατέρων ἡ σύλλογος πάσης τε τῆς ἱερωσύνης ἐγύμνωσε, καὶ σὺν τῷ οἰκείῳ καὶ βδελυρωτάτῳ φρονήματι τῷ αἰωνίῳ παρέπεμψεν ἀναθήματι, τὸν δὲ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει πατροπαραδότως, καὶ ὁσιοπρεπῶς προσκυνεῖσθαι καὶ κηρύττεσθαι δογματίσαντες, ἀκολούθως καὶ τὴν πανάχραντον αὐτοῦ καὶ ἀειπάρθενον μητέρα κυρίως καὶ ἀληθῶς καλεῖσθαι καὶ ἀνευφημεῖσθαι θεοτόκον παραδεδώκασιν. ἡ γὰρ τὸν θεὸν λόγον σαρκὶ γενηθῆναι καταδεξάμενον τέτοκε, θεοτόκος ἐνδίκως δοξολογεῖσθαι καὶ ὀνομάζεσθαι ἐξωσίωται. ἀλλ' ἐπὶ τούτοις μὲν καὶ αὕτη τὸ τέλος ἔσχηκεν, ἡνίκα τὸν Θεοδόσιον ἡ ῥωμαϊκὴ πολιτεία γαληνοῖς ἑώρα ὀφθαλμοῖς τὴν πατρῴαν καὶ βασίλειον ἀρχὴν ἐκ τριγωνίας διανύοντα.

ΤΕΤΆΡΤΗ ΣΥ'ΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος τὸν ἐν βασιλεῦσι εὐσεβέστατον Μαρκιανὸν συμπαρόντα καὶ συμπνέοντα ἔχουσα τῶν ἀληθινῶν μὲν δογμάτων ἀκροατήριον ἀφιέρου τὴν Χαλκηδόνα πόλιν Βιθυνίας οὖσαν ἐπίσημον. ἐν τριάκοντα δὲ καὶ ἑξακοσίοις τῶν ἀριθμὸν ἐξετείνετο· ἧς λογάδες ἐχρημάτιζον, Ἀνατόλιός τε ὁ τῆς Βασιλίδος πόλεως τοὺς ἱερατικοὺς θεσμοὺς ἐγκεχειρισμένος, καὶ Λουκίνσιος [καὶ Πασχασῖνος] ἐπισκοπικῷ διαπρέποντες ἀξιώματι, σὺν Βονιφατίῳ πρεσβυτέρῳ τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ ἁγιωτάτου πάπα Ῥώμης, οὗ κλέος μέγα, καὶ πολὺς ὁ ὑπὲρ τῆς εὐσεβείας ζῆλος, μεθ' ὧν Μάξιμός τε ὁ Ἀντιοχείας, καὶ Ἱεροσολύμων Ἰουβενάλιος, οἵ τινες Εὐτυχῆ τε τὸν δυστυχῆ καὶ τὸν προσασπιστὴν αὐτοῦ καὶ καὶ ἀλάζονα Διόσκορον τόν ποτε Ἀλεξανδρείας δυσσεβημάτων εἰσπράξεις ἀπῄτησαν. καὶ γὰρ καὶ οὗτοι τὴν ἐκ διαμέτρου Νεστορίῳ πλάνην οἰκειωσάμενοι εἰς τὴν ὁμοίαν ἐκείνῳ ἐξέπεσον ἀθλιότητα. τὸν γὰρ ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ θεότητός τε καὶ ἀνθρωπότητος γνωριζόμενον, καὶ

ἐν ταύταις ταῖς δυσὶ προσκυνούμενον φύσεσιν εἰς μίαν τολμηρῶς καὶ ἀφρόνως ἀνεκίρνων καὶ συνέχεον φύσιν, ἐξ ὧν τῆς τε πατρικῆς οὐσίας ἑτερόφυλον, καὶ τοῖς ἀνθρώποις ἑτεροφυῆ οὐ συνίεσαν οἱ δείλαιοι συμπεραίνοντες. εἰ γὰρ μία ἡ τοῦ Χριστοῦ φύσις ἢ θεῖα πάντως, ἢ ἀνθρωπίνη ἔσεται. ἀλλ' εἰ μὲν μόνη θεῖα, ποῦ τὸ ἀνθρώπινον; εἰ δὲ ἀνθρωπίνη, πῶς οὐκ ἔξαρνοι τῆς θεότητος; εἰ δ' ἕτερόν τι παρὰ ταῦτα (τοῦτο γὰρ ὑπολείπεται, καὶ πρὸς τοῦτο μᾶλλον αὐτῶν νεύει τὸ φρόνημα) πῶς οὐχ ἑτεροφυὴς ὁ Χριστὸς καὶ τοῦ πατρὸς καὶ ἡμῶν ἀναπλασθήσεται; οὗ τί ἂν δυσσεβέστερον ἢ ἀφρονέστερον ἄνθρωπον γενέσθαι φάσκειν τὸν τοῦ θεοῦ λόγον καὶ θεὸν, ἐπί τε φθορᾷ τῆς οἰκείας θεότητος, καὶ ἐπὶ ἀναιρέσει τῆς προσληφθείσης ἀνθρωπότητος. τοῦτο γὰρ ἕπεται πάντως τοῖς μηδ' ἑτέρας φύσεως, ἀλλ' ἑτέρας παρὰ ταῦτα τὸν Χριστὸν εἰπεῖν τολμήσασι. διὸ καὶ τῆς τοσαύτης δυσσεβείας οἱ τῶν χριστομάχων τούτων δογμάτων εἰσηγηταὶ ἀξίαν τε δίκην δεδωκότες, ἀφῃρέθησάν τε τῆς ἱερωσύνης, καὶ ἀπὸ πάσης τῆς ἐκκλησίας γεγόνασιν ἀνάθεμα συναπελασθείσης αὐτοῖς καὶ τῆς χριστομάχου αἱρέσεως. τὸ δὲ ὀρθὸν καὶ ἀπαράτρωτον τῆς ὀρθοδοξίας φρόνημα ἔτι μᾶλλον ταῖς γραφικαῖς μαρτυρίαις ἀνεκηρύχθη, καὶ διέλαμψεν ἕνα τὸν Χριστὸν, ἤτοι μίαν αὐτοῦ τὴν ὑπόστασιν, καὶ δύο τὰς φύσεις, θεότητά τε καὶ ἀνθρωπότητα ἀσυγχύτως καὶ ἀδιαιρέτως ἐνθεωρουμένας τῶν τρισμακαρίστων ἀρχιερέων περιφανῶς θεολογησάντων καὶ παραδεδωκότων ἀδιστάκτως ὁμολογεῖν καὶ κηρύσσειν εἰς πάντα τῆς οἰκουμένης τὰ πέρατα· δῆλον δὲ κἀντεῦθεν ὡς δι' ὧν μὲν χωλοῖς αἱ βάσεις ὠρθοῦντο, καὶ τυφλοῖς τὸ πάθος εἰς ὀμμάτων βλάστην ὑπεφύετο, νεκροί τε τῶν πυλῶν ἀνεσπῶντο τοῦ ᾅδου καὶ πρὸς τὸ ζῆν μετετάττοντο, αἵ τε ἄλλαι θεοσημίαι, ἃς οὐ ῥᾴδιον ἀριθμεῖν, ἐπετελοῦντο, καὶ ἐπεδείκνυντο τῆς θείας φύσεως ἐναργῶς παρεδήλου τὸ ἀξίωμα. δι' ὧν δὲ κόπους, καὶ πόνους, καὶ πείναν, καὶ δίψαν καὶ τὰ τούτοις ὑφίστατο συγγενῆ καὶ παραπλήσια τῆς ἀνθρωπίνης οὐσίας ἐτρανοῦτο τὸ ἰδίωμα· ὧν τὰ μὲν θεοπρεπῶς ὁ αὐτὸς Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ἐπιτελέσας καὶ διαπραξάμενος μὲν αὐτοῦ καὶ ἐνιάιαν τὴν ὑπόστασιν, δύο δὲ καὶ διαφερούσας τὰς φύσεις ἐν ἀσυγχύτῳ ἑνώσει σαφῶς τε καὶ ἀναντιρρήτῳ λόγῳ παρέστησε καὶ ἐπιστώσατο. ἀλλ' ἐν τούτοις καὶ τὰ τῆς τετάρτης συνόδου.

ΠΕΜΠΤΗ ΣΥΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος τέμενος αὐτῇ ἱερὸν ἡ Κωνσταντίνου μεγαλόπολις ἀφιέρωτο, πέντε δὲ καὶ ἑξήκοντα καὶ ἑκατὸν θεοφόρων

θεοφόρων πατέρων παρουσίᾳ καὶ συνδρομῇ ἐκρατύνετο. ὧν ἡγοῦντο καὶ προέλαμπον Μῆνας μὲν τὴν ἀρχὴν, εἶτα καὶ Εὐτύχιος τῆς αὐτῆς βασιλίδος ἐκ διαδοχῆς τοῦ ἀρχιερατικοὺς πηδαλιουχήσαντες οἴακας, καὶ Βιγίλιος τῆς Ῥώμης τὴν ἱερὰν λαχὼν ἐφορείαν, παρὼν μὲν τῇ πόλει, οὐ παρὼν δὲ τῇ συνόδῳ ὡς εἰ καὶ μὴ πρόθυμος εἰς τὴν συνδρομὴν τῆς ἱερᾶς ὁμηγύρεως κατέστη. ἀλλ' οὐδὲν ἔλαττον ὅμως τὴν κοινὴν τῶν πατέρων πίστιν ἐπεκύρου λιβέλλῳ· σὺν οἷς Ἀπολινάριός τε Ἀλεξανδρείας καὶ Δόμνος ὁ Ἀντιοχείας τῷ ἀρχιερατικῷ ἀξιώματι κεκοσμημένοι· καὶ δὴ καὶ Δίδυμος, καὶ Εὐάγριος Εὐστολίου τοῦ Ἱεροσολύμων ἀρχιερέως τὸν τόπον ἀναπληροῦντες. τηνικαῦτα δὲ καὶ ὁ Ἰουστινιανὸς ὁ κράτιστος ἐν βασιλεῦσι, τῆς ῥωμαϊκῆς ἀρχῆς τὰς φροντίδας ἐνεχειρίζετο, καὶ τῷ ἐκκλησιαστικῷ συνεφρόνει φρονήματι. αὕτη τοιγαροῦν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος Νεστορίου πάλιν τὰ μιαρὰ παραφυόμενα δόγματα εἰς τὸ παντελὲς ἐξεθέρισεν ἅμα αὐτῷ ἐκείνῳ τῷ σπορεῖ τῶν ζιζανίων, μεθ' ὧν Θεόδωρον καὶ Διόδωρον, ὧν ὁ μὲν Θάρσου πόλεως, ὁ δὲ Μομψουεστίας ἐπεσκόπησαν. οἱ Νεστορίου πρότερον τὴν τοιαύτην ὠδίνοντες αἵρεσιν, καὶ ἔγγραφον ἀπολελοίπασι τῆς νόθου διανοίας τὰ νόθα καὶ ἔκφυλα κυήματα. ἔτι δὲ κατεδίκασαν καὶ ἀνεθεμάτισαν Ὠριγένην, Δίδυμον, Εὐάγριον παλαιὰ τῶν πιστῶν ἀῤῥωστήματα, ἄνδρας τε ἑλληνικὴν μυθολογίαν ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ παρεισενεγκεῖν φιλονεικήσαντας· προυπάρχειν τε γὰρ οὗτοι τὰς ψυχὰς τῶν σωμάτων ἐληρώδουν, καὶ πολλὰ σώματα τὴν αὐτὴν ἐπενδύεσθαι, δόγμα μιαρὸν καὶ κατάπτυστον, καὶ μόνων ὡς ἀληθῶς ἐκείνων τῶν ψυχῶν ἄξιον, καὶ τέλος δὲ τῆς ἀτελευτήτου κολάσεως ἐψηφίζοντο, ἄλλη τοῦτο παράκλησις πρὸς ἁμαρτίαν πᾶσαν καὶ ἀπώλειαν, καὶ τοῖς πονηροῖς δαίμοσι τὸ ἀρχαῖον ἀξίωμα ἐχαρίζοντο, ἐπαναδραμεῖν ἑαυτοῦ εἰς τὴν ἄνωθεν δόξαν, ἐξ ἧς ἐξέπεσον ἀναπλάττοντες. ἔτι δὲ οὐδὲ τὰ σώματα ταῖς ψυχαῖς ἐβούλοντο συνανίστασθαι, γυμνὰς δὲ αὐτὰς τῶν σωμάτων ἀνιστῶσιν. οὐκ οἶδ' ὅτι καὶ καλοῦντες ἀνάστασιν εἴπερ τοῦ πεπτωκότος καὶ πεσόντος ἡ ἀνάστασις, οὐχὶ δὲ τοῦ ἀεὶ ἑστῶτος, ἐν ἀφθαρσίᾳ διαμένοντος, οἷόνπερ ἐστιν ἡ ψυχή. οὐδὲ τοῦτο δυσωπηθέντες οἱ ἄθλιοι ἡλίκον οἷον ἀδίκημα διὰ ὧν ληροῦσι, τοῦ δικαίου κριτοῦ κατηγοροῦσι. πῶς γὰρ οὐκ ἐσχάτην ἀδικίαν αὐτοῦ καταμαρτυροῦσι. τὰ μὲν συναθλήσοντα σώματα ταῖς ψυχαῖς ἐν τοῖς κατ' ἀρετὴν πόνοις τῶν κοινῶν ἐπάθλων ἀποστερεῖν αὐτὸν βλασφημοῦντες· τὰ δ' αὖ πάλιν συνεξαμαρτοῦντα τῆς κοινῆς αἰτίας καὶ πράξεως ἀνεπιτίμητα καταλιμπάνειν, μονὰς δὲ τὰς ψυχὰς χωρὶς τῶν διαπραξαμένων σωμάτων ἢ διπλῆν εἰσ-

πράπτειν τιμωρίαν ἢ διπλῆς ἀξιοῦν μισθαποδοσίας· οὐ μόνον δὲ ταύτας τὰς δυσφημίας ὁ ἱερὸς οὗτος τῶν πατέρων χορὸς ἀπεκήρυξεν, ἀλλὰ καὶ πρό γε τούτων οὐ πολλῷ ἔμπροσθεν χρόνῳ καθεῖλε καὶ ἀνεθεμάτισε Ἄνθιμόν τε τὴν Τραπεζούντιον τὸ Εὐτυχοῦς ὑποθάλποντα φρόνημα, καὶ Σευῆρον Πέτρον τε τὴν Ἀπαμείας, καὶ Ξωόρας καὶ πᾶσαν τὴν πονηρὰν ἐκείνην καὶ πολυκέφαλον διασπορὰν καὶ συμμορίαν, Ἀγαπητοῦ μὲν μάλιστα τοῦ Ῥώμης, τῆς εὐαγοῦς προκατάρξαντος πράξεως, συμψήφων δὲ καὶ συνεργῶν ἀναφανέντων τῶν περιωνύμων ἀρχιερέων· ὧν ὁ μὲν Ἐφραίμιος ὁ κλεινὸς, τοῦ Ἀντιόχου δὲ οὗτος, τῶν Ἱεροσολύμων δὲ Πέτρος ὁ ἱερὸς ἐπεσκόπευε. τούτου οὖν ἅπαντας τὸ θεῖον τῶν ἀρχιερέων συνάθροισμα ἐκκηρύξαντές τε καὶ ἀποβαλλόμενοι τὰ ἀπλανῆ καὶ θεῖα τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἐκραταίωσέ τε καὶ ἐπεκύρωσε δόγματα. καὶ τὰ μὲν τῆς οἰκουμενικῆς πέμπτης συνόδου ἐν τούτοις.

ἘΚΤΗ ΣΥΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος ἐν τῇ βασιλίδι τῶν πόλεων, καὶ αὐτὴ τῶν μυστικῶν τῆς ἐκκλησίας θεαμάτων τὸ ἱερὸν ἐπήγνυτο θεάτρον· ἑβδομήκοντα δὲ καὶ ἑκατὸν θεοφόροις ἀνδράσι τὸν ἀγῶνα ὑποδυομένη λαμπρῶς νικῶσαν ἀπεδείκνυε τὴν εὐσέβειαν. ταύτης ἀρχηγοὶ καὶ τῶν ἄλλων προνομείᾳ ἐκρίνοντο ἄξιοι, Γεώργιός τε ᾧ τῆς βασιλίδος πόλεως ἀρχιερατικὸς θεσμὸς ὑπῆρχεν ἐγκεχειρισμένος, καὶ Θεόδωρος καὶ Γεώργιος ἐν πρεσβυτέρων ἀξιώματι κατειλεγμένοι, ἅμα διακόνῳ Ἰωάννῃ οἱ ἀντὶ Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα Ῥώμης εἰς τὴν τῶν ἐξάρχων τάξιν ἠριθμοῦντο, καὶ τοῦ τῆς Ἀλεξάνδρου μεγαλοπόλεως θρόνου Πέτρος μοναχὸς τὸν τόπον ἀνεπλήρου· μεθ' ὧν καὶ Γεώργιος μοναχὸς καὶ πρεσβύτερος εἰς τὸν βαθμὸν τῆς ἀρχιερατικῆς τῶν Ἱεροσολύμων παρήγγελλε καθέδρας. οὗτοι δὴ σὺν τοῖς ἄλλοις ἱεροῖς καὶ ἁγίοις πατράσι Σέργιον, Πύῤῥον, Παῦλον Κωνσταντινουπόλεως κατάρξαντας, καὶ Ὀνώριον τὸν Ῥώμης, Κῦρόν τε τῆς Ἀλεξανδρείας, καὶ Θεόδωρον τὸν τῆς Φαρὰν τὴν ἀλληλόπλοκον τοῦ ψεύδους σειρὰν διαῤῥήξαντας, οὐ μὲν ἀλλὰ καὶ Μακάριον τῆς Ἀντιοχείας ἅμα Στεφάνῳ τῆς αἱρέσεως μαθητῇ, σὺν γέροντί τινι ἀθλίῳ τοὔνομα Πολυχρονίῳ ἐπιπλακέντας αὐτοῖς, καὶ τῆς ἐκείνων δυσσεβείας ὑπερμαχεῖν μελετήσαντας ὑπὸ δικαίαν καταδίκην ἐποιήσαντο, ὅτι μίαν θέλησιν καὶ μίαν ἐνεργείαν ἐπὶ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τοῦ ἐκ δύο πεφυκότος φύσεων, δυσσεβεῖ καὶ ἀλόγῳ φρονήματι, ἐτόλμησαν ἀποφήνασθαι· μηδὲ τοῦτο λογισμοῖς ἀνα-

λαβόντες οἱ ἀσύνετοι ῥᾴδιον ὂν καὶ πρόχειρον εἰς κατάληψιν, ὡς οὐκ ἔστι τῆς αὐτῆς ἐνεργείας κῶλον κατ' ἐξουσίαν ὀρθῶσαι, καὶ κόπους ὁδοιπορίας μετέρχεσθαι, οὐδὲ τυφλοὺς ὀμματῶσαι, καὶ γῆν δακτύλων ἔργοις σιέλῳ φυράσαι, καὶ πηλὸν ποιῆσαι, καὶ ἐπιβαλεῖν τοῖς ὄμμασι, οὐδὲ νεκρὸν ἀναστῆσαι, καὶ δακρύειν ἐπὶ τελευτήσαντι. οὐ μὲν οὐδὲ τῆς αὐτῆς ἐστι θελήσεως παραιτεῖσθαι τὸ ποτήριον τοῦ θανάτου, καὶ δόξαν αὐτὸ καλεῖν πάλιν, καὶ βούλεσθαι τὸ ἀθέλητον. ἀλλὰ πῶς οὐχὶ συνήσθοντο διὰ τούτων καὶ τῶν φύσεων τὴν διαφορὰν ἐξαρνούμενοι. πᾶσα γὰρ φύσις πηγὴ ἐνεργείας, καὶ ταῖς διαφόροις ἐνεργείαις αἱ φυσικαὶ θελήσεις συνδιασχίζονται. καὶ εἰ κατὰ τὴν ἐν αὐτοῖς πλάνην ἡ ἐνέργεια καὶ ἡ θέλησις μία, ἡ φύσις πάντως ἐξ ἧς ταῦτα, μία. εἰ δὲ δύο αἱ φύσεις, (οὔπω γὰρ εἰς τοῦτο μανίας ἐξώκειλαν ἐν ὀφθαλμοῖς ἔχοντες τὴν διασπορὰν τῶν καταρξάντων καὶ ἀπώλειαν) πῶς οὐχὶ ἑκατέρα πηγάσει τὴν οἰκείαν ἐνέργειαν καὶ τὴν θέλησιν. ἀλλὰ καὶ οὗτοι μὲν τῆς ἰδίας αὐτῶν καὶ δυσφήμου δόξης οὐδὲν προτιμήσαντες σὺν αὐτῇ ἐκείνῃ αἰωνίῳ κατεδικάσθησαν ἀναθέματι. δύο δὲ θελήσεις φυσικὰς, καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ θεοῦ ἡμῶν τῶν θεοφόρων πατέρων ἱερολογήσας ὁ σύλλογος ταῖς ἁπανταχοῦ ἐκκλησίαις τὸ διπλοῦν ὁμολογεῖν καὶ κηρύσσειν ὥσπερ τῶν φύσεων, οὕτω καὶ τὸ ἐνεργειῶν καὶ θελήσεων ὀρθοδόξως παραδεδώκασι. Κωνσταντῖνος δὲ τὴν ἱκαῦτα ὁ ἀπόγονος τοῦ Ἡρακλείου τὸν προγονικὸν τῆς βασιλείας κλῆρον ἐχρημάτιζεν ἀναδεδεγμένος, τά τε ἄλλα συμπράττων τῇ συνόδῳ καὶ τὸ ὀρθὸν τῆς ἐκκλησίας φρόνημα πρεσβεύων. ἀλλ' ἐν τούτῳ μὲν καὶ ἡ ἕκτη.

ἘΒΛΟΜΗ ΣΥΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος Νικαίαν μὲν τῶν Βιθυνῶν μητρόπολιν οὖσαν, καὶ τῶν ὀρθοδόξων δογμάτων δικαστήριον παλαιγεγονυῖαν, καὶ αὐτὴ τῆς εὐσεβείας κριτήριον ἔδειξεν, ἑπτὰ μὲν καὶ ἑξήκοντα καὶ τριακοσίων ἱερῶν ἀνδρῶν πλήθει πλατυνομένη· ταξιάρχους δὲ καὶ πρωτοστάτας τῆς ἱερᾶς αὐτῶν καὶ μεγάλης φάλαγγος προβαλλομένη Ταράσιόν τε τὸν ἐν ἀρχιερεῦσι θεοῦ περιβόητον (θεῖος οὗτος καὶ πανάριστος ἀνὴρ, καὶ τῆς βασιλίδος πόλεως τοῦ ἱεραρχικοὺς οἴακας, εἴπερ τις ἄλλος, περιάγειν ἄξιος) καὶ δὴ καὶ Πέτρον ἄλλον πρεσβύτερον, καὶ αὐτὸν καὶ τῆς ἐκεῖσε μονῆς ἡγούμενον τοῦ ἁγίου Σάββα, οἱ τῆς ἀποστολικῆς καθέδρας διεπληροῦντο τὸν τόπον Ἀδριανοῦ τότε τὸ ἀρχιερατικὸν κοσμοῦντος ἀξίωμα, ἅμα δὲ τούτοις Ἰωάννην καὶ Θωμᾶν ἄνδρας μοναδικῇ πολιτείᾳ περιωνύμους, καὶ ἱερατικῇ τιμῇ περιλάμποντας, καὶ τῆς ἀνατολικῆς ἁπάσης διοικήσεως τῶν

ἀποστολικῶν καὶ μεγάλων θεόνων ἀποστηρικτὰς, καὶ τὸ τῶν ἀρχιερέων θεῖον μιον ἔχοντας, λέγω δὴ Ἀθηναείας τε καὶ Θεοδωρίτου καὶ Ἡλία. ὧν ὁ μὲν Ἀλεξανδρείας, ὁ δὲ Ἀντιοχείας, καὶ ὁ λοιπὸς τῶν Ἱεροσολύμων ἱεροπρεπῶς τε καὶ πανσόφως θεσπεσήκασιν. Τότε Κωνσταντῖνος καὶ Εἰρήνη ὀρθοδοξίας σεφάνῳ κοσμούμενοι, καὶ τὴν αὐτοκράτορα τῆς ῥωμαϊκῆς ἀρχῆς πορφυρίδα ἐσηρίζοντο. αὕτη τοιγαροῦν ἡ ἱερὰ καὶ μεγάλη σύνοδος ἀρτιφανῆ τε καὶ βάρβαρον αἵρεσιν ὑπὸ δυσεβῶν καὶ αἰσίερων ἀνδρῶν παρεισυχθεῖσαν θεοκρίτῳ καὶ κοινῷ ψηφίσματι κατεδίκασε, καὶ σὺν εἰσηγηταὶς καὶ θεομάχοις αὐτῶν Ἀρίῳ αὐτῷ συνυποβαλοῦσα κεφάλαι. ἔστι γὰρ οἱ δείλαιοι Χριστὸν τὸν ἀληθῶς θεὸν ἡμῶν βλασφημεῖν ἀχρόμολογοῦντες τῆς ῥήμασι, διὰ τῶν ἔργων πᾶσαν ἐπήνουν ὕβριν καὶ βλασφημίαν καὶ ἀσέβειαν, καὶ αὐτὸν ἐκεῖνον δυσφημεῖν ἀμέσως καὶ χωρίς τινος παραπετάσματος ἀθρῆσαντες διὰ τῆς ἑπτῆς εἰκόνος τὸ πᾶν αὐτῶν τῆς χριστομάχου γνώμης ἐξεπλήρουν θέλημα. εἴδωλον γὰρ ᾧ τὸ μιαρᾶς καὶ ἀθέου γλώσσης καὶ διανοίας ἀπήχημα, τῷ θεοσκυνητῷ εἰκόνα Χριστοῦ, δι' ἧς εἰδώλων πλάνη διώκεται θεοσηρόδυσαν καθυβρίζοντες, καὶ πάσαις αὐτῷ ἀτιμίαις περιβάλλοντες αἱ τὰς ἀγορὰς καὶ τὰς λεωφόρους ποσὶ κατεπάτων, θρίαμβον, πυρὶ παραδίδοσαν. θέαμα χριστιανοῖς ἐλεεινὸν, καὶ τῆς ἑλληνικῆς χρῖσομαχίας μόνης ἄξιον. τὰ αὐτὰ δὴ καὶ τῶν ἄλλων ἱερῶν εἰκόνων. καὶ εἰσὶ νιστμάτων ποσὶ πολεροῖς ἐκχέαι, ἅμα χερσί τε παλαμναίαις καὶ βεβήλοις χείλεσιν ἐνεσέλαμνον, καὶ κέρον ἀδένα τῆλικαύτης μανίας κομῆ θεωληξίας ἀδαμῶς ἐλάμβανον οἱ ἀλάστορες. ἀλλὰ τῶν ἑλληνικῶν βδελυγμάτων ἀδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον, τὰ χριστιανῶν ἱερὰ σύμβολά τε καὶ ἐκτυπώματα διὰ μίσος ἄγοντες ἐβδελύσσοντο· δι' ὧν αὐτοῖς καὶ ὁ ἔσπερος πόλεμος κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων συνεκροτεῖτο καὶ ἐκερατύνετο. δῆλον γὰρ ἅπασιν ὡς ἡ τιμὴ τῶν εἰκονισμάτων τιμὴ γίνεται τῶν εἰκονιζομένων, ὥσπερ καὶ ἡ ἀτιμία εἰς αὐτὰ διαβαίνει τὰ εἰκονιζόμενα. ἀλλ' ἔστι τὰ νέα τῶν χρισομάχων ἰδαίων γυμνήματα· δι' ὧν μὲν τὸν σεπτὸν εἰκόνα Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων ἐξύβριζον, τὸ θεογονικὸν ἀνεπλήρουν ὑστέρημα, εἰς τὰ τῶν ἰδαίων τολμήματα ἐκφερόμενοι καὶ νικῶν φιλονεικοῦντες τῇ ὑπερβολῇ τῆς θεομανίας σὺν γυμνήτραις· δι' ὧν ἡ χριστιανῶν ἐν μέσῳ σὺν ἔχον τολμᾶται τὸν Χριστὸν καὶ χείλεσιν ἀπαρνήσασθαι καὶ αὐτὸ ἐκεῖνα δ' ἰδαϊκὰ καὶ παρῳκ ζῆλος ἠλέγχοντο διαπίπτοντες καὶ νόθον καὶ τῷ αὐτῶν δεικνύοντες τὴν μίμησιν καὶ μηδαμῶ σάσιν ἔχοντες, ἀλλ' ὥσπερ τῷ κακῷ καρωθέντες τῆς αἱρέσεως, ὧδε κἀκεῖσε διερρίπτοῦντο καὶ παρεφέροντο. χριστιανοὶ μὲν

γὰρ ἑαυτοὺς ὀνομάζοντες καὶ χριστὸν ἐφρυάττοντο, καὶ τὴν ἰδαίων κλῆσιν δὲ θεοπεμπτον τὸ χριστόμαχον αὐτῶν παρεζήλωσαν διὰ τὴν εἰκονομαχίας καὶ ὑπερέβαλον, δι' μίσος καὶ τοῦτο εἰδωλολατρείας ἐκκλίνοντας ὄνομα δὲν εἰδωλολατρῶν ἀνεκπόρατα εἰς τε χριστιανοὺς αὐτοὺς καὶ εἰς τὰ τῶν χριστιανῶν θεῖα καὶ ἄχραντα μυστήρια ἐπεδείξαντο· διὰ τοῦτο μὲν ὅσον μὴ τῆς μοιχαλίδος καὶ πολυαστόρου καὶ συμπεφυρμένης δόξης φυγεῖν ἐβέλησαν τὴν δυσγένειαν ὡς νοθεῖα γυνὴ καὶ ἔκφυλα τῶν πιστῶν ὑγιείας, ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος διακόπασι δεσμοῖς ἀλύτοις καὶ ἀναθέματος καθυπέβαλεν· τὴν εἰκόνα χριστοῦ καὶ ἀληθινὸν θεὸν ἡμῶν καὶ τοὺς αὐτοὺς ἅπαντα δοσολικάς τε καὶ πατρικὰς παραδόσεις, καὶ τοὺς τῶν ἱερῶν λογίων ἐκφαντορίας ὅπου τιμὴ καὶ σεβασμιότητι δ' εἰκονιζομένου θεοσκωεῖται καὶ τιμᾶται ψήφοις ἀποδοσις ἐπεκύρωσέ τε καὶ ἐπεσφράγισατο δ' θεοσκυνήσεως καὶ τιμῆς δηλονότι θεοσαγομένης, καθ' ὃν τρόπον καὶ τοῖς ἄλλοις ἱεροῖς συμβόλοις καὶ τύποις τοῦ καθ' ἡμᾶς ἁγιωτάτης λατρείας θεοσερχόμεθα. δ' γὰρ ἐν αὐτοῖς ἱστῶμεν καὶ συμπεθικλείομεν τῷ τιμίῳ καὶ θεοσκύνησιν, δὲ εἰς ἑτερόφυλα καὶ διαφορα τέλη χιζόμεθα, ἀλλὰ διὰ τὸ φαινομένης, διαφόρα καὶ μερισῆς αὐτῶν θεραπείας καὶ θεοσκωήπεως ἱεροπρεπῶς τε καὶ ἀδιαιρέτως εἰς τὴν ἀμέρισταν ἐκείνῳ ἐνοειδῆ τε καὶ ἐνοποιὸν θεότητα ἀναγόμεθα. ὅτῳ τὸ τίμιον σεμνὸν θεοσκυνοῦμεν, ἐν ᾧ τὸ δεσποτικὸν ἐξεπανύθη σῶμα, καὶ τὸ δ' κόσμου καθάρσιον ἀνέβλυσεν αἷμα, καὶ ἡ δ' ξύλου φύσις τῆς ἐκείνου ῥοπῆς δεδοξῆσα τῷ ἀγήρῳ ζωῇ ἐβλάστησεν αὐτὴ θανάτου, ὅτῳ τὸ τύπον δ' σεμνὸν θεοσκυνοῦμεν, δι' δ' δαιμόνων ἐλαύνεται σίφη, καὶ πάθη θεραπεύεται ποικίλα, τὸ ἅπαξ ἐν τῷ πρωτοτύπῳ χάριτος καὶ δυνάμεως ἐνεργηθέντος, καὶ μέχρις αὐτῶν τῶν τύπων μὴ τῆς ὁμοίας ἐνεργείας συμπεριόσης. τοῦτον τοιγαροῦν ἔκαστον τῷ τε Χριστοῦ εἰκόνα φημὶ καὶ αὐτὸν τὸν σεμνὸν, καὶ δὴ καὶ αὐτὸ δ' σεμνὸν τοῦ τύπον παραπλησίως τῇ σεβασμιότητι καὶ θεοσκυνήσει ἐξοσιοῦτες, οὐκ ἐν αὐτοῖς θεωρᾶφομεν καὶ θεωρίζομεν τῷ τιμίῳ καὶ τὸ σέβας, ἀλλ' εἰς τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα πλέτῳ φιλανθρωπίας ἀφάτῳ, καὶ τοῦτο ἡμῶν ἐπινοίσιον πάθος ἑκουσίως ὑπενεγκόντα, τούτῳ ἀναφέρομεν καὶ ἀνιερᾶμεν, ὅτῳ δὴ καὶ ναοὺς ἁγίων καὶ πόρτας καὶ λείψανα πιστῶς βρύοντα ἴσασι πιστῶς θεοσκυνᾶμεν τοῦτα δοξάσαντα Χριστὸν τὸν θεὸν ἡμῶν μεγαλύνοντες καὶ ἀνυμνοῦντες καὶ δὴ καὶ εἴτι τούτοις καὶ τὰς μυστικὰς καὶ ἁγίας ἡμῶν τελετὰς ἔστι παραπλήσιον, διὰ τῆς ἐν αὐτοῖς ἐνεργουμένης δωρεᾶς τε καὶ χάριτος, τὸ δεχικόν τε καὶ πρωτεργὸν αἴτιον ὑπογινώσκομέν τε καὶ δοξολογᾶμεν. διὸ

καὶ τῶν μακαρίων ἐκείνων καὶ ἱερῶν ἀνδρῶν ἡ θεοφόρος καὶ ἁγία πανήγυρις, οὐ μόνον τὴν εἰκόνα Χριστοῦ καθάπερ ἔφημεν, ἀλλά γε δὴ καὶ τῆς παναχράντου καὶ ἀειπαρθένου Μαρίας καὶ δεσποίνης ἡμῶν θεοτόκου, καὶ πάντων τῶν ἁγίων τὰς ἱερὰς εἰκόνας κατὰ ἀναλογίαν τῆς τῶν πρωτοτύπων ὑπεροχῆς καὶ σεβασμιότητος τιμᾶσθαι καὶ προσκυνεῖσθαι κοινῶν θεσπισμάτων ὅροις, ἐπεσφράγισέ τε καὶ ἐπεκύρωσε· καὶ γὰρ καὶ δι' αὐτῶν εἰς ἑνοποιόν τινα καὶ συναγωγὸν ἀναγόμεθα θεωρίαν, καὶ πρὸς τὸ ἀκρότατον τῶν ὀρεκτῶν δι' αὐτῆς ἀξιούμεθα θείας, καὶ ὑπερφυοῦς συναφείας. ἀλλὰ ταῦτα μὲν σοφῶς τε καὶ θεαρέστως τελεσαμένη διώρισε· πᾶσαν δὲ αἱρετικὴν νόσον καὶ πᾶσαν ἀκοσμίαν τῆς λογικῆς ἀπελάσασα, τὸν οἰκεῖον κόσμον καὶ τὸ κάλλος τὴν ἐκκλησίαν ἐπαναλαβοῦσαν ἀπέδειξεν. καὶ οἷα δὴ νύμφην οὐκ ἐν κροσσωτοῖς χρυσοῖς, ἀλλ' ἐν νοεροῖς ἐξορισθεῖσαν εἰκονίσμασιν, ἐκ δεξιῶν τοῦ νυμφίου Χριστοῦ παραστήσασα ἱλαροῖς καὶ χαίρουσιν ὀφθαλμοῖς καθορᾶσθαι καὶ ἐναγλαΐεσθαι παντὶ τῷ τῶν πιστῶν πληρώματι παρεσκεύασεν.

ΝΕΙΛΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΡΟΔΟΥ ΔΙΗΓΗΣΙΣ ΣΥΝΟΠΤΙΚΗ ΠΕΡΙ ΤΩΝ ἁγίων καὶ οἰκουμενικῶν συνόδων.

Ὁ ποιμὴν ὁ καλὸς ὁ γινώσκων τοὺς ἰδίους, καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων, πορευθέντες, εἶπε, μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.

ἐκ τοῦ ἁγίου Πέτρου.

Ποιμένες ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον ἑκουσίως, καὶ μὴ βιαστῶς, μηδὲ αἰσχροκερδῶς, ἀλλὰ ὡς τύποι γινόμενοι τοῦ ποιμνίου, καὶ φανέντος τοῦ ἀρχιποιμένος κομεῖσθε τὸν ἀμαράντινον στέφανον, ὃν ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

ἐκ τοῦ ἁγίου Παύλου.

Ἐγὼ παρέλαβον ἀπὸ τοῦ κυρίου ὃ καὶ παρέδωκα ὑμῖν, εἴ τις οὖν εὐαγγελίζεται ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω; προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ εἰς ὃ ὑμᾶς κατέστησεν ἐπισκόπους.

ΠΡΩΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος ἡ ἐν Νικαίᾳ συναθροισθεῖσα ὑπὸ τιή θεοφόρων πατέρων ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου βασιλέως καὶ ἰσαποστόλου Κωνσταντίνου κατὰ τοῦ ἄφρονος Ἀρείου πρεσβυτέρου τῆς Ἀλεξανδρέων ἐκκλησίας· ἡγοῦντο δὲ τῆς συνόδου Σίλβεστρος Ῥώμης, Ἀλέξανδρος Κωνσταντινουπόλεως, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας, καὶ Μακάριος Ἱεροσολύμων. γέγονε δὲ κατὰ τὸ εωιέ. ἔτος ἀπὸ κτίσεως κόσμου τῶν ἀπὸ Χριστοῦ κατὰ τὸ τιή. ἀπὸ τῆς πρώτης συνόδου ἕως τῆς δευτέρας ἔτη νδ'. ἡμεῖς ὡς παρελάβομεν καὶ πιστεύομεν, ὅτι οὐ κτίσμα ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀλλ' ὁ ὢν ἐπὶ πάντα θεὸς εὐλογητὸς κατὰ τὴν τοῦ Παύλου φωνὴν καὶ ὁμοούσιος τῷ θεῷ καὶ πατρὶ αὐτοῦ, καὶ τῷ ἁγίῳ πνεύματι κατὰ τὴν αὐτοῦ θεότητα καὶ τὸν μὴ οὕτω φρονοῦντα ἀναθεματίζομεν.

ΔΕΥΤΕΡΑ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος ἡ ἐν Κωνσταντίνου πόλει γέγο-

νεν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου συγκροτηθεῖσα ὑπὸ ἑκατὸν πεντήκοντα ἐπισκόπων κατὰ Μακεδονίου τοῦ πνευματομάχου πατριάρχου Κωνσταντινουπόλεως, καὶ Σαβελίου τοῦ Λίβυος, καὶ Ἀπολιναρίου Λαοδικείας· ἡγοῦντο δὲ τῆς συνόδου Δάμασος Ῥώμης, Νεκτάριος Κωνσταντινουπόλεως, Τιμόθεος Ἀλεξανδρείας, Κύριλλος Ἱεροσολύμων, Μελετιος Ἀντιοχείας, Γρηγόριος ὁ θεολόγος, Γρηγόριος Νύσης, καὶ Ἀμφιλόχιος Ἰκονίου· ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη εωοβ'. ἀπὸ δὲ Χριστοῦ τοβ'. ἀπὸ τῆς δευτέρας ἕως τῆς τρίτης ἔτη μά'. ἡμεῖς παρελάβομεν καὶ πιστεύομεν, ὅτι τὸ πανάγιον πνεῦμα θεός ἐστιν ἀληθινὸς, ὡς ὁμοούσιον τῷ θεῷ καὶ πατρὶ καὶ τῷ υἱῷ, ἐπεὶ ὁ κύριος Ἰησοῦς οὕτως εἶπε, βαπτίζεσθαι καὶ πιστεύειν εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ὅπερ οὐκ ἂν εἶπεν, εἰ κτίσμα ἦν. τῷ οὖν μὴ οὕτω φρονοῦντι ἀνάθεμα.

ΤΡΊΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος ἡ ἐν Ἐφέσῳ γέγονεν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ συγκροτηθεῖσα ὑπὸ διακόνων ἁγίων πατέρων κατὰ Νεστορίου πατριάρχου Κωνσταντινουπόλεως· ἡγοῦντο δὲ αὐτῆς Κελεστῖνος Ῥώμης, Κύριλλος Ἀλεξανδρείας, Ἰουβενάλιος Ἱεροσολύμων, Μέμνων Ἐφέσου. ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη επιγ'. ἀπὸ δὲ Χριστοῦ υιγ'. ἀπὸ δὲ τῆς τρίτης ἕως τῆς τετάρτης, ἔτη τριάκοντα. ἡμεῖς παρελάβομεν καὶ πιστεύομεν ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, οὕτω γὰρ ὁ Πέτρος εἶπεν, ἐρωτηθεὶς παρὰ τοῦ κυρίου περὶ αὐτοῦ καὶ ἐπηνέθη παρὰ τῆς αὐτοαληθείας καὶ ἐμαρτυρήθη, ὡς αὐτὴ ἡ γνῶσις, ἐκ τοῦ θεοῦ καὶ πατρὸς ἀπεκαλύφθη. τῷ οὖν μὴ οὕτω φρονοῦντι, ἀνάθεμα.

ΤΕΤΆΡΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος, ἡ ἐν Χαλκηδονι γέγονεν ἐπὶ τῆς βασιλείας Μαρκιανοῦ, συγκροτηθεῖσα ὑπὸ ἑξακοσίων τριάκοντα ἁγίων πατέρων κατὰ Διοσκούρου πατριάρχου Ἀλεξανδρείας καὶ Εὐτυχοῦς ἀρχιμανδρίτου Κωνσταντινουπόλεως· ἡγοῦντο δὲ αὐτῆς Λέων Ῥώμης, Ἀνατόλιος Κωνσταντινουπόλεως, Ἰουβενάλιος Ἱεροσολύμων, Μάξιμος Ἀντιοχείας. ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη επμγ'. ἀπὸ τετάρτης ἕως τῆς πέμπτης ἔτη ρβ'. ἡμεῖς παρελάβομεν καὶ πιστεύομεν ὅτι αἱ δύο φύσεις αἱ συνελθοῦσαι ἐν μιᾷ ὑποστάσει τοῦ κυρίου ἡμῶν ἀσυγχύτως, οὕτω καὶ μεμενήκασι καθ' ἑαυτοῦ, ἑκατέρας ἐχούσης τὰς ἰδίας ἐνεργείας. ἐδήλωσε γὰρ τοῦτο ὁ κύριος νῦν μὲν λέγων, ὅτι νῦν ἡ ψυχή μου τετάρακται, πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης, νῦν δὲ λέγων, ὅτι οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλὰ ἐξουσίαν

σίαν ἔχω θεῖναι καὶ πάλιν λαβεῖν αὐτήν· ὡς τὸ μὲν ταράττεσθαι τῆς κτιστῆς εἶναι φύσεως, τὸ δὲ ἐξουσίαν ἔχειν ἰδιαζόντως τῆς ἐνούσης αὐτῇ θεότητος. οὐδὲ λέγοντας οὖν ὅτι εἰς μίαν φύσιν ἀμφότεροι γεγόνασι, καὶ μίαν ἐπὶ τοῦ κυρίου πρεσβεύοντας φύσιν τῷ ἀναθέματι ἀναπέμπομεν.

ΠΕΜΠΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ, συγκροτηθεῖσα ὑπὸ ἑκατὸν ἑξήκοντα ἁγίων πατέρων κατὰ τοῦ Ὠριγένους τοῦ παράφρονος· ἡγοῦντο δὲ τῆς συνόδου Βιγίλιος πάπας Ῥώμης, Εὐτύχειος Κωνσταντινουπόλεως, Ἀπολινάριος Ἀλεξανδρείας, Δόμνος Ἀντιοχείας, καὶ Δαμιανὸς Ἱεροσολύμων. ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη ςμέ'. ἀπὸ δὲ Χριστοῦ ἔτη φμε. ἀπὸ πέμπτης ἕως τῆς ἕκτης ἔτη ἑκατὸν δύο.

ἘΚΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος γέγονεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, συναθροισθεῖσα ὑπὸ ἑκατὸν ἑβδομήκοντα ἁγίων πατέρων, ἧς ἡγοῦντο Ἀγάθων Ῥώμης, Γεώργιος Κωνσταντινουπόλεως, Πέτρος μοναχὸς τοποτηρητὴς τῆς Ἀλεξανδρείας, Θεοφάτης Ἀντιοχείας κατὰ Ὀνωρίου πάπα Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου τε καὶ Πύρρου καὶ Παύλου καὶ Πέτρου ἐπισκόπων Κωνσταντινουπόλεως. ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη ςροθ'. ἀπὸ δὲ Χριστοῦ ψιθ. ἀπὸ ἕκτης ἕως ἑβδόμης ἔτη ἑκατὸν ἐννέα.

ἘΒΛΟΜΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος ἡ ἐν Νικαίᾳ τὸ δεύτερον γέγονεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ συγκροτηθεῖσα ὑπὸ τριακοσίων ἑξήκοντα τριῶν ἁγίων πατέρων κατὰ τῶν εἰκονομάχων· ἡγοῦντο δὲ αὐτῆς Ἀδριανὸς πάπας Ῥώμης, Ταράσιος Κωνσταντινουπόλεως, Πολιτιανὸς Ἀλεξανδρείας, Θεοδώριτος Ἀντιοχείας, Ἠλίας Ἱεροσολύμων. ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη ..... ἀπὸ δὲ Χριστοῦ ἔτη ψκδ'. ἀπὸ ἑβδόμης ἕως ὀγδόης ἔτη ἑκατὸν εἴκοσι.

ὈΓΔΟΉ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ ἅυτη σύνοδος ὀγδόη τῶν τριακοσίων ὀγδοήκοντα ἁγίων πατέρων γέγονεν ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Μακεδόνος, καθ' ἣν σύνοδον γέγονεν εἰρήνη μεταξὺ τῆς δυτικῆς ἐκκλησίας καὶ τῶν ἄλλων πατριαρχείων φανερῶς ὁμολογησάντων τῶν δυτικῶν, ὅτι οὕτως ἀναγινώσκομεν καὶ πιστεύομεν, ὡς καὶ ὑμεῖς· χωρὶς προσθήκης τινὸς τὸ σύμβολον τὸ ἅγιον ὡς οὕτως ... ἔχον, ὄντως σύμβολον εἶναι τῆς ἀληθοῦς πίστεως, ἀλλὰ καὶ οὐδὲ

προσηλύτους, ἢ ἐλλείποντας ἀναθεματίζομεν οὕτως τὸν ἁγιώτατον πάπαν Ρώμης, Φώτιον πατριάρχην Κωνσταντινουπόλεως καὶ τοποτηρητὰς τῶν ἁγίων πέντε Ρώμης, Φώτιον πατριάρχην Κωνσταντινουπόλεως καὶ τοποτηρητὰς τῶν ἁγίων πέντε μάλων ἐκκλησίας Παύλου καὶ Εὐγενίου ἐπισκόπων, καὶ Πέτρου πρεσβυτέρου καὶ καρδιναλίου, καὶ τῶν ἄλλων πατριαρχῶν διὰ τοποτηρητῶν. ὧν συνελθόντων ἐπὶ τῆς κοινῆς ὁμονοίας τῶν ἐκκλησιῶν, οἱ μὲν τοποτηρηταὶ τοῦ πρεσβυτέρας Ρώμης ἐδόκουν, πρέπον εἶναι μὴ ἕτερον καθηγεμονεύεσθαι, ἀλλὰ αὐτὸν τὸν ἐρχόμενον ὅρον, καὶ αὐτὰ πᾶσαν τὴν οἰκουμένην κρατοῦμενόν τε καὶ δοξαζόμενον ἀναγνωσθῆναί τε καὶ ἐπιβεβαιωθῆναι, καὶ ἐν ἱερᾷ συμβόλῳ ἀναγνωσθέντας αὖθις προθήκης ὡς ἔχει, ἡ ἁγία σύνοδος ἐξεβόησεν, ἡμεῖς κατὰ τὴν ἐν σωτῆρι διδασκαλίαν, καὶ τὰ ἀποστόλων παραδόσιν, ἔτι δὲ καὶ τοὺς κανονικοὺς τύπους τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων τὸν αὐτῶν ἐκ πατέρων καὶ μέχρι ἡμῶν κατεληλυθότα τῆς ἀκραιφνεστάτης τῶν χριστιανῶν πίστεως ὅρον, καὶ ὑπνοίᾳ καὶ γλώττῃ σέβομέν τε καὶ πάσχομεν βεβαιαγγέλλομεν διαπεπυσμένως ἤδη ἀφαιροῦντες ἤδη προσθέντες καὶ διάνοιαν ἢ λέξιν, ἤδη ἀμείβοντες, ἤδη κιβδηλεύοντες. καὶ μετὰ τοῦτο οἵτε τοποτηρηταὶ Ρώμης καὶ ἡ σύνοδος ἅπασα ἐξεβόησεν, ἕτερον ἐκτεθεῖσθαι σύμβολον καὶ ὅρον ἀνακινῆσαι, ἢ προθήκην ἢ ὑφαίρεσιν ποιῆσαι ἐν τῷ ἀναγνωσθέντι ἱερῷ καὶ ἁγίῳ συμβόλῳ, ἀνάθεμα ἔστω. ταῦτα καὶ ἐν τοῖς ῥωμαϊκοῖς καιροῖς τοῖς ἐπὶ τοῦ πράξεως τοῦ συνόδου ταύτης δι' εἰσκεται ὑπὸ τῆς ἁγιωτάτης Ἰωάννου πάπα Ρώμης πρὸς Φώτιον πατριάρχην Κωνσταντινουπόλεως. καὶ ἡ σὴ ἀδελφότης ἐπίσταται, ὡς ὅτε πρὸς ἡμᾶς παρεγένετο ὁ μικρὸν ἔμπροσθεν ἀποσταλεὶς παρ' αὐτῆς παρὰ τοῦ ἁγίου συμβόλου ἡμᾶς ἐδοκίμασεν, εὗρεν ἀπαράτρωτον, καθὼς ἐδέχθην παρεδόθη ἡμῖν, διατηροῦντας, καὶ μήτε προσθέντας τι, ἢ ἀφαιροῦντας· ἀκριβῶς εἰδότας, ὡς τὰ τοιαῦτα τολμῶσι βαρεῖα καταδίκη ὑπομένουσι ἀποκεῖται. καὶ πάλιν οὖν παραδηλοῦμεν τῇ σῇ ἀδελφότητί σε, ἵνα πρὸς τοῦτο ἄρθρα τάττῃ, δι' ὁ σώζεται τὰ σκάνδαλα μέσον τῶν ἐκκλησιῶν καὶ θεοῦ, ἔχῃ τὴν προφορὰν εἰς ἡμᾶς, ὅτι ἐμόνον λέγομεν τοῦτο, ἀλλὰ καὶ τοῦτο πρῶτον θαρρήσαντες τῇ ἑαυτῶν ἀποκρίσει τοῦτο ποιῆσαι, παραβάντες τὰ θεῖα λόγων κελεύομεν καὶ μεταπιπτὰς τῆς θεολογίας καὶ δεσπότου Χριστοῦ, καὶ τῶν ἁγίων πατέρων, οὓς πρωτοδικῶς παρέλαβον τὸ ἅγιον σύμβολον, καὶ μεθ' ὧν ἴσμεν αὐτοὺς τάττομεν, ὅτι καὶ τοῦτον ἐκείνῳ τετολμήκασι, καὶ παραδόντες εἰς θάνατον τὸ κυριακὸν σῶμα, ἀλλὰ τοῦτ' ἐστὶν οἱ τινες ἀπὸ μέρη τοῦ σώματος αὐτοῦ, διαιρέσαντές τε, καὶ διατέμνοντες ἀλλήλων.

ΕΝΑΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος ἑνάτη γέγονεν ἐπὶ τοῦ βασιλείας τοῦ μακαρίτου καὶ ἀοιδίμου βασιλέως κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου, καὶ Ἰωάννου τοῦ υἱοῦ αὐτοῦ, καὶ Βερλαάμ, καὶ Ἀκινδύνου. ἐδογμάτισαν γὰρ ὅτι νῦν μὲν ἀθεμίτως διάκεινται εἶναι ἐπὶ τῆς θείας φύσεως, οὐσίας, καὶ ἐνεργείας, ἀλλὰ ταυτὸν εἶναι καὶ διάφορον. νῦν δὴ διάκεινται μὲν εἶναι ἔλεγεν. τολμῶ τὴν μὲν οὐσίαν ἄκτιστον, τὰς δὲ αὐτῆς οὐσιώδεις ἐνεργείας καὶ φυσικὰς συγχωροῦσιν ἑτέρας εἶναι, τολμῶ οὐκ ἀκτίστους, ἀλλὰ κτιστάς. καὶ ἐπὶ τοῦ ἐν τῷ Θαβωρίῳ ἐκλάμψαν θεῖον σκῆνος φῶς, φάσμα ἀπλῶς καὶ κτίσμα γινόμενον καὶ ἀποτελούμενον, ἀλλὰ, οὐ θείας φύσεως φυσικὴν αἴγλην, καὶ θεότητα καὶ φῶς ἀποστίλβον καὶ καθορώμενον. καὶ τούτων οὕτω λεγόντων συνῆλθεν ἡ ἁγία σύνοδος αὐτὴ ἐλέγξασα τοῦτον ἀποκηρύττοντας καὶ ψιλοθρέψεις καὶ πάσης εἰδωλολάτρους, μᾶλλον τῶν ἄλλων αἱρετικῶν· παρῆσαν δὲ τῇ συνόδῳ ταύτῃ Ἰσίδωρος Κωνσταντινουπόλεως, Λάζαρος Ἱεροσολύμων, Ἀλέξανδρείας, καὶ Ἀντιοχείας διὰ τοποτηρητῶν, Γρηγόριος ὁ Παλαμᾶς, Φιλόθεος ὁ Κόκκινος, καὶ ἕτεροι μοναχοὶ πολλοὶ ἐνάρετοι καὶ λογάδες, οἱ καὶ αὐτοῦ ἀνεθεμάτισαν. παρελάβομεν, ὅτι θεὸν ἐνεργοῦντα δηλοῖ, θεότητος δὲ ἐνέργεια. ἤδη δὲ τῶν τριῶν ἐνέργεια. παρελάβομεν ὅτι τὸ μηδαμῶς δύναμιν, ἢ ἐνέργειαν ἔχον ὅτε ἔστιν, ὅτι τί ἔστιν, ἤδη ἔστιν αὐτοῦ θέσις ἢ ἀφαίρεσις. τὸ δὲ ἔχον ἑτερόν ἐστι παντὸς ἄλλου ἔχει.

ΑΔΕΣΠΟΤΟΝ ΠΕΡΙ

ΤΩΝ ΕΞ ΣΥΝΟΔΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝ.

ΧΡῊ γινώσκειν ὅτι ς'. εἰσὶν αἱ ἁγίαι κὴ οἰκουμενικαὶ σύνοδοι. καὶ ἡ μὲν
ά. γέγονεν ἐν Νικαίᾳ ἐπὶ τ̃ ἐν ἁγίοις ἡμῶν βασιλέως Κωνσταντίνου τ̃
μεγάλου, κὴ Σιλβέστρου πάπα Ρ̃ώμης κὴ Ἀλεξάνδρου πατριάρχου
Κωνσταντινουπόλεως. ὑπ̃ῆρχον δὲ οἱ ἅγιοι πατέρες τριακόσιοι ιή'. συνῆλθον
δὲ κ̃ Ἀρείου τ̃ ματαιόφρονος πρεσβυτέρου, φρονούντων τ̃ς ἐκκλησίας
Ἀλεξανδρείας, βλασφημούντων τὸν υἱὸν τ̃ θεοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν
Χριστόν· κτίσμα γὰρ αὐτὸν ἔλεγεν ὁ δυσσεβὴς, καὶ ἀχ ὁμοούσιον τῷ θεῷ κὴ
πατρὶ, ὅθεν τ̃ τὸν ὡς ἐχθρὸν τ̃ς ἀληθείας ἅμα τοῖς ὁμόφροσιν αὐτοῦ ἀναθεματίσαντες ἀπεβάλοντο. πίστιν δὲ ὀρθοδόξων πίστιν ἐκράτυναν, ὁμοούσιον
τῷ πατρὶ κηρύξαντες, κύριον δὲ τ̃ ἁπάντων κὴ ἀ κτίσμα ἀλλὰ θεὸν ἀληθινὸν καθὼς κὴ τὸ σύμβολον παρέχει τ̃ πίστεως. ὅπερ αὐτὸ τὴ ἐμπνεύσει τ̃ ἁγίου
πνεύματος ὑπ̃ηρέτουν.

ἀπέχει ἡ σύνοδος β'. ἀπὸ τ̃ς ά. ἔτη ν'.

Η̃ δὲ δευτέρα ἁγία καὶ οἰκουμενικὴ σύνοδος τ̃ ἁγίων ρν'. πατέρων
γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ τ̃ βασιλέως Θεοδοσίου τ̃ μεγάλου, κὴ Δαμάσου πάπα Ρ̃ώμης, κὴ Νεκταρίου πατριάρχου Κωνσταντινουπόλεως, κὴ Γρηγορίου τ̃ Θεολόγου κὴ Μακεδονίου τ̃ δυσσεβ̃ς τ̃ληρικῶς μὲν τ̃ πατριαρχικὸν θρόνον ἁρπάσαντος, βλασφημοῦντος δὲ πνεῦμα τὸ ἅγιον· ἔλεγε γὰρ
αὐτὸ μὴ εἶναι θεὸν, ἀλλὰ τ̃ θεότητος τ̃ πατρὸς ἀλλότριον. ὅθεν τ̃τον μὲν ὡς
ἐχθρὸν τ̃ εὐσεβείας ἅμα τοῖς ὁμόφροσιν αὐτοῦ ἀναθεματίσαντες καθεῖλον. θεὸν δὲ ἀληθινὸν κὴ κύριον κὴ ζωοποιὸν τὸ πανάγιον πνεῦμα ἐτεφάνωσαν
ὁμοούσιον τῷ πατρὶ κὴ τῷ υἱῷ ὑπ̃άρχειν αὐτὸ κηρύξαντες, κὴ τ̃ αὐτοῦ θεότητος κὴ δυνάμεως, καθὼς τὸ σύμβολον παρέχει τ̃ πίστεως, ὅπερ αὐθεντικώτερον τῇ τ̃ ἁγίου πνεύματος ἐξεφάνισαν χάριτι ἕπ̃ῃ κὴ Ἀπολιναρίου τ̃ Λαοδικείας τὴν βλασφημίαν συν̃ αὐτῷ κὴ τοῖς ὁμοια φρονοῦσι ἀναθεματίσαντες· ὡς ἄψυχον τὴν τ̃ κυρίου ἡμῶν σάρκα λέγοντος ἔμψυχον εἶναι,

ταύτην ἐβεβαίωσαν, ψυχὴν ἔχοντα τοῖς ἡμετέροις ψυχαῖς ὁμοούσιον.

Γ.

ἀπέχει ἡ γ'. σύνοδος ἀπὸ τ̃ς β'. ἔτη κθ'. μῆνας γ'.

Η̃ τρίτη ἁγία καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Ἐφέσῳ, ἐπὶ πρεσβυτέρου ἐπὶ Θεοδοσίου τ̃ βασιλέως τ̃ μικρ̃ συναθροισθεῖσα σ'. ἁγίων πατέρων
ὑπ̃άρχουσα κ̃ Νεστορίου τ̃ αἱρεσιάρχου κὴ ἀσεβ̃ς, πατριάρχου μὲν
γνωμένου Κωνσταντινουπόλεως, τ̃ Χριστὸν δὲ διαιροῦντος καὶ καταμισοῦντος·
ψιλὸν μὲν γὰρ ἄνθρωπον εἶναί ἔλεγε, καὶ ἀθεὸν συναριθμούμενον. ὅθεν ἀθέ θεοτόκον, ἀλλὰ χριστοτόκον τὴν ἁγίαν παρθένον Μαρίαν τὴν τεκοῦσαν τὸν κύριον
ἡμῶν Ἰησοῦν Χριστὸν ὠνόμαζε. τοῦτον χάριν συν̃ Κελεστίνῳ τῷ πάπᾳ
Ρ̃ώμης κ̃ τῷ περιμάχῳ τ̃ς ὀρθοδόξου Κυρίλλῳ τῷ πάπᾳ Ἀλεξανδρείας
ἡ ἁγία αὕτη σύνοδος ἐμμένοντα τ̃ ταυτ̃ βλασφημίᾳ καθεῖλεν ὡς ἰσοδαίμονα τ̃ αὐθρωπολάτρην Νεστόριον. κυρίως δὲ κὴ ἀληθ̃ς θεοτόκον τὴν
ἁγίαν Μαρίαν ἀπέδειξεν, κὴ τὸν ἐξ αὐτ̃ς ἀσπόρως σαρκωθέντα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν υἱὸν δὲ θεοῦ κὴ θεὸν ἀληθινὸν ἀνεκήρυξεν. ἡ γὰρ ἐν αὐτῇ
τ̃ Ἐφέσῳ γνωμένη σύνοδος ἐπὶ τ̃ αὐτ̃ βασιλέως Θεοδοσίου τ̃ μικρ̃,
ὡς ληστρικὴ ὑπ̃άρχουσα, κὴ τὰ ἀ̃ κακόφρονος δὲ Διοσκόρου καὶ τ̃ ματαιόφρονος Εὐτυχ̃ς φωραθεῖσα κρατεῖν, τελείως ἐκ τ̃ ἁγίας καθολικ̃ς κὴ
ἀποστολικ̃ς ἐκκλησίας ἐκβέβληται.

Δ.

Η̃ δ'. ἁγία κὴ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Χαλκηδόνι ἐπὶ Μαρκιανοῦ τ̃ εὐσεβεστάτου βασιλέως, καὶ Λέοντος πάπα Ρ̃ώμης, καὶ Ἀνατολίου πατριάρχου Κωνσταντινουπόλεως κὴ χλ'. πατέρων ὑπ̃άρχουσα κ̃ Διοσκόρου γνωμένου πατριάρχου Ἀλεξανδρείας κὴ Εὐτυχ̃ς ὅτι γὰρ τὸν τ̃
θεὸν κὴ σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ δύο φύσεων παρεκτὸς ὁμολογεῖσθαι παρεκτὸς ἀρνεῖται ἀσεβ̃ς. ἐν φαντασίᾳ αὐτὸν λέγοντες φορέσαι τὴν σάρκα, ὅθεν καὶ
ἐν μιᾷ φύσει αὐτὸν ἐνωθολόγουν, τ̃ θεότητι τὰ πάθη προστιθέντα. Διὸ
τοῦτο δὴ ταύτῃ μὲν ἐμμένοντας πολλὴν ἀναθεματίσαν ἅμα τοῖς ὁμοφρόσι αὐτοῦ. θεῖον δὲ ὁμολογοῦν ἐξεφάνισαν, τέλειον θεὸν καὶ τέλειον ἀνθρωπον ἐν δύο
φύσεσιν ἀσυγχύτως καὶ ἀδιαιρέτως τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ
θεὸν κηρύξαντες. τὴν δ̃ ἁγίαν Λέοντος ἀποστολικὴν τὴν περὶ τὸν ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως Φλαβιανὸν ὡς ἐπίλοιπον ὀρθοδοξίας ἀπεδείξαντο. χρὴ δὲ γινώσκειν ὅτι οἱ λεγόμενοι Θεοδοσιανοὶ εἰσὶν ἀπὸ Θεοδοσίου τινὸς, κὴ οἱ Ἰακωβίται οἱ ἀπὸ Ἰακώβου τινὸς, καὶ οἱ Σευηριανοὶ οἱ ἀπὸ Σευήρου
καὶ ὁμοιοπαθῶν γεγραμμένων Διασκόρου καὶ Εὐτυχ̃ς τῶν βεβήλων αἱρετι-

κῶν ὡς καὶ αὐτοὶ βέβηλοι τυγχάνοντες φρονοῦσι. διὸ δὴ ἀνθίστανται μετὰ ἑτέρων αἱρέσεων τῇ τοιαύτῃ ἁγίᾳ καὶ οἰκουμενικῇ δ'. συνόδῳ. ἑαυτοὺς ἀπαλλοτριοῦντες τῆς ἁγίας καθολικῆς ἐκκλησίας.

ἀπέχει ἡ ε'. ἀπὸ τῆς δ'. ἔτη ξη'.

Ἡ δὲ ε'. ἁγία καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλεως, ὑπὸ Ἰουστινιανοῦ τοῦ παλαι βασιλέως καὶ Βηγιλίου πάπα Ῥώμης καὶ Εὐτυχοῦς πατριάρχου Κωνσταντινουπόλεως. ὑπῆρχον δὲ ἑκατὸν ἑξήκοντα πέντε ἅγιοι πατέρες. ἥτις ἁγία σύνοδος ἐπεκύρωσε μὲν τὴν ἐν Χαλκηδόνι σύνοδον, καὶ ὡς ὀρθόδοξα αὐτῆς πάντα τὰ σωτήρια ἐκράτησε δόγματα, τὰς αὐτῆς αἱρέσεις ἀναθεματίσασα. ἀπεβάλετο δὲ καὶ ἀνεθεμάτισεν ἡ ἁγία σύνοδος ἐν πρωτοτύπῳ μὲν Ὠριγένην τὸν παράφρονα, καὶ πάντα αὐτοῦ τὰ ἀσεβῆ δόγματα καὶ συγγράμματα, Εὐάγριόν τε καὶ Δίδυμον, ὡς συμμύστας τούτου καὶ σύμφρονας καὶ ἑλληνικοῖς ἐμφορουμένους δόγμασι. καὶ γὰρ καὶ αὐτὰ τὰ σώματα ἃ νῦν περικείμεθα ἀνοήτως εἶπον μὴ ἀναστήσεσθαι ὑπὸ θεοῦ, μήτε εἶναι, καὶ ἐν σαρκὶ μὴ πλασθῆναι τὸν Ἀδὰμ, καὶ τέλος εἶναι τῆς κολάσεως, καὶ δαιμόνων εἰς τὸ ἀρχαῖον κατάστασιν. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ ἄλλα τινὰ παράτισιν ἐν τῷ κρυπτῷ κατεχόμενα τελείως οὐκ ἐθριαμβεύθησαν ἐπὶ συνόδῳ. εἰ καί τινες τῶν ἁγίων πατέρων εἶχον... αὐτά. καὶ γὰρ προγενέστεροι τῆς ἁγίας ταύτης συνόδου οἱ τρεῖς ὑπῆρχον αὐτοὶ αἱρετικοὶ. ὁπηνίκα δὲ πολὺν λαὸν τὰ τοιαῦτα πονηρὰ ἐξηπάτησαν βλαστήματα, τηνικαῦτα καὶ αὐτὴ ἡ ἁγία σύνοδος συναθροισθεῖσα τούτους τε καὶ τοὺς ὁμόφρονας αὐτοῖς καὶ τὰς αὐτῶν βλασφημίας ἀνεθεμάτισεν. ἔτι δὲ καὶ τὸν Μόψουεστιας Θεόδωρον τὸν Νεστορίου διδάσκαλον σὺν τοῖς αὐτοῦ βλασφήμοις συντάγμασι ὡς μυσαρὸν ἐκρίπτει ζιζάνιον, καὶ τοῦ Θεοδωρίτου τὰ κακῶς γεγονότα κατὰ τοῦ τῆς εὐσεβείας προμάχου Κυρίλλου, καὶ δυσσεβῶς ἐκτεθέντα συγγράμματα, καὶ ὅσα κατὰ τῆς ἐν Ἐφέσῳ ἁγίας α'. συνόδου καὶ τῆς ὀρθῆς ἡμῶν καθηγόρει πίστεως Νεστορίῳ τῷ δυσσεβεῖ χαριζόμενος.

ἀπέχει ἡ ς'. ἀπὸ τῆς ε'. ἔτη ρξγ'.

Ἡ δὲ ς'. ἁγία οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ Κώνσταντος βασιλέως πατρὸς Ἰουστινιανοῦ καὶ ἐπὶ Ἀγάθωνος πάπα Ῥώμης καὶ Γεωργίου πατριάρχου Κωνσταντινουπόλεως. ὑπῆρχον δὲ ρο'. ἅγιοι πατέρες. συνηθροίσθησαν δὲ κατὰ τῶν καινοτομησάντων αἵρεσιν ἐν τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ: λέγω δὴ Θεοδώρου τοῦ τῆς Φαρὰν ἐπισκόπου, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου, καὶ Πύῤῥου, Πέτρου, καὶ Παύλου Κωνσταντινουπόλεως ἐπισκόπων. ἔτι δὲ καὶ τῶν ἀνακαινισάντων τὴν αἵρεσιν τούτων τῶν

